ΒΙΚΤΩΡΟΣ Δ. ΚΡΗΤΙΚΟΥ

# ΑΡΡΙΑΝΟΥ

# ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΙΣ



ΚΥΡΙΑΚΟΥ ΚΟΣΜΑ

# ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΑΙ

ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ
ΠΑΡΑΣΧΟΥ Λ. ΚΑΛΦΑΚΗ
ΟΔΟΣ ΣΤΑΔΙΟΥ 50
ΤΗΛ. 36.386

ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΣΧΟΛΙΚΩΝ ΒΙΒΛΙΩΝ
ΕΝ ΑΘΗΝΑΙΣ 1956

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

19929

Δήμητρα Κύρου

ΑΡΡΙΑΝΟΥ

# ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΙΣ

(ΕΚΛΟΓΑΙ)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

34589

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΙΚΤΩΡΟΣ Δ. ΚΡΗΤΙΚΟΥ

# ΑΡΡΙΑΝΟΥ
# ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΙΣ

(ΕΚΛΟΓΑΙ)




ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΣΧΟΛΙΚΩΝ ΒΙΒΛΙΩΝ
ΕΝ ΑΘΗΝΑΙΣ 1956

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



Κεφαλὴ ἀγάλματος τοῦ Μ. Ἀλεξάνδρου ἐκ Μαγνησίας.

*( Μουσεῖον Κωνσταντινουπόλεως )*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ƒ. Λαύρου

# ΕΙΣΑΓΩΓΗ

## Α΄. Τὰ γράμματα εἰς τὴν ἀρχαίαν Ἑλλάδα.

Τὰ διασωθέντα ἔργα τῶν Ἀρχαίων Ἑλλήνων συγγραφέων καὶ ποιητῶν μαρτυροῦν, ὅτι οἱ πρόγονοί μας ἐκαλλιέργησαν ὑπερόχως ὅλα τὰ εἴδη τοῦ λόγου. Τὰ δημιουργήματα αὐτῶν εἰς τὴν ποίησιν καὶ εἰς τὸν πεζὸν λόγον εἶναι ἀθάνατα μνημεῖα, προκαλοῦντα τὸν θαυμασμὸν ὅλων τῶν πολιτισμένων ἀνθρώπων.

Εἰς τὴν ἐπικὴν ποίησιν λ.χ. δὲν ἔχει ἀναφανῆ μέχρι σήμερον ποιητὴς ἀνώτερος ἀπὸ τὸν Ὅμηρον καὶ πολὺ ὀλίγοι ἠμποροῦν νὰ συναγωνισθοῦν τὸν ἰδικόν μας λυρικὸν ποιητὴν Πίνδαρον ἢ τοὺς δραματικούς μας ποιητάς, τὸν Αἰσχύλον, τὸν Σοφοκλέα, τὸν Εὐριπίδην.

Ἀλλὰ καὶ εἰς τὸν πεζὸν λόγον ἡ δημιουργία τῶν προγόνων μας εἶναι ἄφθαστος. Εἰς τὴν ἱστορίαν ὁ Ἡρόδοτος, ὁ Θουκυδίδης, ὁ Ξενοφῶν, εἰς τὴν φιλοσοφίαν ὁ Πλάτων καὶ ὁ Ἀριστοτέλης, εἰς τὴν ῥητορικὴν ὁ Δημοσθένης, καὶ μαζὶ μὲ αὐτοὺς τόσοι ἄλλοι, ἄφησαν ἔργα, τὰ ὁποῖα δεικνύουν τὸν βαθμὸν τοῦ ἀρχαίου ἑλληνικοῦ πολιτισμοῦ.

## Β΄. Ἡ ἀνάπτυξις τῆς ἱστοριογραφίας.

Ὁ πεζὸς λόγος διεμορφώθη πολὺ βραδύτερον τῆς ποιήσεως. Τοῦτο ἐξηγεῖται, διότι ἡ ποίησις εἶναι κυρίως προϊὸν τῆς φαντασίας, τὴν ὁποίαν εἶχε πλουσίαν ὁ ἑλληνικὸς λαός, ἐνῷ ὁ πεζὸς λόγος ἀπαιτεῖ ὡριμότητα σκέψεως καὶ ἀκριβολογίαν ἐκφράσεως. Εἰς τοῦτο ἄλλωστε συνετέλεσε καὶ ἡ σχετικῶς βραδεῖα διάδοσις τῆς γραφῆς εἰς τὴν Ἑλλάδα ( μόλις τὸν ἕβδομον αἰῶνα π.Χ. ).

Ἐκ δὲ τῶν εἰδῶν τοῦ πεζοῦ λόγου τὸ πρῶτον χρονολογικῶς ἀναπτυχθὲν εἶναι ἡ ἱστοριογραφία. Τοῦτο, διότι τὸ Ἑλληνικὸν ἔθνος εὐχαριστούμενον ἀπὸ παλαιοτάτους χρόνους ν' ἀσχολῆται ὑπὸ τὸ κάλυμμα τῆς ἐπικῆς ποιήσεως μὲ τὴν ἔνδοξον πάντοτε ἱστορίαν του, αὐ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν ἐκινήθη πρῶτον νὰ ἐκθέσῃ καὶ διὰ τοῦ πεζοῦ λόγου, ὅταν ἀνδρωθὲν ᾐσθάνθη τὴν πρὸς τοῦτο ἱκανότητα.

Ὁ πρῶτος ἄξιος τοῦ ὀνόματος ἱστορικός, ὁ ὁποῖος καὶ πατὴρ τῆς ἱστορίας καλεῖται, εἶναι ὁ Ἡ ρ ό δ ο τ ο ς. Οὗτος γεννηθεὶς εἰς τὴν Ἁλικαρνασσὸν τῆς Μ. Ἀσίας τὸ 489 καὶ ἀποθανὼν τὸ 410 εἰς Θουρίους τῆς Ἰταλίας, ἔγραψε τὴν ἱστορίαν τῶν Περσικῶν πολέμων.

Ὁ μέγας Ἀθηναῖος ἱστορικὸς Θ ο υ κ υ δ ί δ η ς ( 470 - 397 ) ἐτελειοποίησε τὸ εἶδος τοῦτο τοῦ πεζοῦ λόγου καὶ συνέγραψε τὴν ἱστορίαν τοῦ Πελοποννησιακοῦ πολέμου ( 421 - 404 ). Ἀλλὰ δὲν ἐπρόφθασε νὰ τὴν συμπληρώσῃ, διότι τὸ ἔργον του λήγει εἰς τὸ 21ον τοῦ πολέμου ἔτος. Ὁ Ἀθηναῖος ἱστορικὸς Ξ ε ν ο φ ῶ ν ( 434 - 355) συνέχισε τὴν ἱστορίαν τοῦ πολέμου τούτου καὶ ἐξέθεσε τὰ μετ' αὐτὸν γεγονότα εἰς τὰ « Ἑλληνικά » του. Οὗτος εἶναι ὁ συγγραφεὺς καὶ τῆς γνωστῆς μας « Κύρου Ἀναβάσεως », καθὼς καὶ ἄλλων ἱστορικῶν, φιλοσοφικῶν καὶ πολιτικῶν ἔργων.

Μετὰ τοὺς τρεῖς τούτους ἱστορικοὺς καὶ ἄλλοι κατὰ καιροὺς ἀνεφάνησαν, ἐκ τῶν ὁποίων γνωστότεροι εἶναι οἱ μετὰ τὴν πτῶσιν τῆς Ἑλλάδος καὶ ἐπὶ Ῥωμαϊκῆς κυριαρχίας ἀκμάσαντες Π λ ο ύ τ α ρ χ ο ς ἐκ Χαιρωνείας ( 50 - 127 μ.Χ. ) καὶ Ἀ ρ ρ ι α ν ό ς , περὶ τοῦ ὁποίου ἤδη θ' ἀσχοληθῶμεν ἰδιαιτέρως, διότι μᾶς ἐνδιαφέρει ἐπὶ τοῦ προκειμένου.

## Γ'. Ὁ βίος τοῦ Ἀρριανοῦ.

Ὁ Ἀρριανός, γεννηθεὶς τὸ 95 μ.Χ. εἰς τὴν Νικομήδειαν τῆς Μικρασιατικῆς Βιθυνίας, ὑπῆρξεν εἷς ἐκ τῶν μᾶλλον πεπαιδευμένων ἀνδρῶν τῆς ἐποχῆς του. Κατὰ τοὺς χρόνους ἐκείνους ἡ Ἑλλὰς εὑρίσκετο ὑπὸ τὴν Ῥωμαϊκὴν κυριαρχίαν, ἡ ὁποία ἐξετείνετο ἀπὸ τοῦ Ἀτλαντικοῦ Ὠκεανοῦ μέχρι τοῦ Εὐφράτου καὶ ἀπὸ τῶν ἀκτῶν τῆς Βορείου θαλάσσης μέχρι τῆς Ἀφρικῆς. Ὁ Ἀρριανὸς ἦτο σύγχρονος τῶν Ῥωμαίων αὐτοκρατόρων Ἀδριανοῦ ( 117 - 138 μ.Χ. ), Ἀντωνίου τοῦ Εὐσεβοῦς ( 138 - 162 μ.Χ. ) καὶ τοῦ Μάρκου Αὐρηλίου ( 162 - 180 μ.Χ. ). Ἀπὸ μικρᾶς ἡλικίας ἔδειξε μεγάλην ἀγάπην πρὸς τὰ γράμματα. Νέος ὢν ἦλθεν εἰς τὴν Νικόπολιν τῆς Ἠπείρου, ὅπου εἶχεν ἱδρύσει φιλοσοφικὴν σχολὴν ὁ ἐπιφανὴς στωικὸς φιλόσοφος Ἐπίκτητος ( 50 - 120 μ.Χ. ). Ὁ Ἀρριανὸς ἔγινε προσφιλέστατος μαθητὴς τοῦ φιλοσόφου τούτου καὶ διεκρίθη διὰ τὴν φιλομάθειάν του. Ἀργότερον μετέβη εἰς τὰς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

'Αθήνας καὶ συνεπλήρωσε τὴν μόρφωσίν του εἰς τὰς ἐκεῖ ἀνθούσας τότε ῥητορικὰς καὶ φιλοσοφικὰς σχολάς. Εἰς τὰς 'Αθήνας ἐγνωρίσθη μὲ τὸν αὐτοκράτορα 'Αδριανὸν καὶ ἐξετιμήθη πολὺ παρ' αὐτοῦ. Προσκληθεὶς εἰς 'Ρώμην ἀπέκτησε τὰ δικαιώματα τοῦ 'Ρωμαίου πολίτου καὶ προσέλαβε τὸ ὄνομα τῆς αὐτοκρατορικῆς οἰκογενείας, ἐπονομασθεὶς Φλάβιος. Κατὰ τὸ 130 μ.Χ. διωρίσθη τοπάρχης τῆς Καππαδοκίας. Τὸ ἀξίωμα τοῦτο διετήρησεν ἐπὶ ἑπταετίαν. Διεκρίθη δὲ διὰ τὴν διοικητικήν του ἱκανότητα καὶ διὰ τὴν ἀνδρείαν, τὴν ὁποίαν ἐπέδειξεν ἀποκρούσας τὰς ἐπιδρομὰς τοῦ Σκυθικοῦ λαοῦ τῶν 'Αλανῶν. Τὸ 147 ἐπανέρχεται εἰς τὰς 'Αθήνας, διορισθεὶς ὑπὸ τοῦ 'Αδριανοῦ ἐπώνυμος ἄρχων αὐτῶν. Τὸ 171 γίνεται καὶ πρύτανις τῆς Πανδιονίδος φυλῆς. Εἰς βαθὺ γῆρας ἐπέστρεψεν εἰς τὴν πατρίδα του Νικομήδειαν, ὅπου ἀπέθανε περὶ τὸ 180.

## Δ'. Ἔργα τοῦ 'Αρριανοῦ.

'Ο 'Αρριανὸς ὑπῆρξε πολυγραφώτατος συγγραφεύς. Εἰς τὸν ὅλον βίον του καὶ εἰς τὴν συγγραφικήν του δρᾶσιν εἶχε ὡς πρότυπον τὸν Ξενοφῶντα. Ὅπως ἐκεῖνος εἶχε πεφιλημένον διδάσκαλον τὸν Σωκράτην, τοιουτοτρόπως καὶ ὁ 'Αρριανὸς ἐτίμα καὶ ἠγάπα τὸν φιλόσοφον 'Επίκτητον. 'Επίσης ὅπως ὁ Ξενοφῶν, τοιουτοτρόπως καὶ ὁ 'Αρριανὸς ἔγραψε ποικίλα συγγράμματα, ἱστορικά, γεωγραφικά, φιλοσοφικὰ καὶ στρατιωτικά. Ἔργα του εἶναι :

α ) *Ἱ σ τ ο ρ ι κ ά* : Ἡ « 'Α ν ά β α σ ι ς 'Α λ ε ξ ά ν δ ρ ο υ » διῃρημένη εἰς 7 βιβλία, κατὰ μίμησιν τῆς « Κύρου 'Αναβάσεως » τοῦ Ξενοφῶντος. Εἰς τὸ ἔργον τοῦτο ἐξιστορεῖ ὄχι μόνον τὴν ἐκστρατείαν τοῦ Μεγάλου 'Αλεξάνδρου κατὰ τῶν Περσῶν, ἀλλὰ καὶ ὅλον τὸν βίον του.

Πηγαὶ τῆς ἱστορίας του, καθὼς ὁ ἴδιος ἀναφέρει εἰς τὸ προοίμιόν του, εἶναι τὰ παλαιότερα περὶ τοῦ 'Αλεξάνδρου συγγράμματα καὶ ἰδίως τὰ τοῦ Πτολεμαίου καὶ τοῦ 'Αριστοβούλου, οἱ ὁποῖοι ἦσαν στρατηγοὶ παρακολουθήσαντες τὴν κατὰ τῶν Περσῶν ἐκστρατείαν.

Ἄλλο ἱστορικὸν σύγγραμμα τοῦ 'Αρριανοῦ εἶναι τὸ ἐπιγραφόμενον « 'Ι ν δ ι κ ή », εἰς τὸ ὁποῖον περιγράφει τὴν χώραν τῶν 'Ινδῶν, τὰ ἤθη, τὰ ἔθιμα, τὸν χαρακτῆρα καὶ τὰ πολιτεύματα αὐτῶν. Τὸ ἔργον τοῦτο ἐγράφη εἰς τὴν 'Ιωνικὴν διάλεκτον, κατὰ μίμησιν τοῦ 'Ηροδότου.

β ) *Γ ε ω γ ρ α φ ι κ ὰ* ἔργα εἶχε γράψει ἀρκετά. 'Εκ τούτων περιε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σώθη μόνον ὁ «Περίπλους Εὐξείνου Πόντου», εἰς τὸν ὁποῖον περιγράφονται τὰ παράλια τοῦ Εὐξείνου ἀπὸ Τραπεζοῦντος μέχρι Βυζαντίου, τὰ ὁποῖα ὁ ἴδιος εἶχεν ἐπισκεφθῆ, ὅταν ἦτο τοπάρχης τῆς Καππαδοκίας.

γ) *Στρατιωτικὰ* ἔργα εἶναι: 1) «Τέχνη τακτική», ὅπου πραγματεύεται περὶ τῆς στρατιωτικῆς τακτικῆς τῶν Ἑλλήνων καὶ Μακεδόνων καὶ περὶ τοῦ ἀναδιοργανωθέντος ὑπὸ τοῦ Ἀδριανοῦ ἱππικοῦ τῶν Ῥωμαίων. 2) «Ἔκταξις τῶν Ἀλανῶν», ὅπου ἐκθέτει τὴν διάταξιν τοῦ ῥωμαϊκοῦ στρατοῦ εἰς τὴν κατὰ τῶν Ἀλανῶν ἐκστρατείαν.

δ) ***Φιλοσοφικὰ*** ἔργα εἶναι: 1) «Ἐπικτήτου διατριβαί», εἰς τὰς ὁποίας ἐκθέτει τὴν διδασκαλίαν τοῦ στωικοῦ φιλοσόφου. 2) «Ἐπικτήτου ἐγχειρίδιον», τὸ ὁποῖον εἶναι περίληψις τῶν «Διατριβῶν».

Πλὴν τῶν ἔργων τούτων ὁ Ἀρριανὸς ἔγραψε καὶ τὸν «Κυνηγετικόν», ὡς συμπλήρωμα τοῦ ὁμωνύμου ἔργου τοῦ Ξενοφῶντος.

## Ε΄. Ἡ γλῶσσα τοῦ Ἀρριανοῦ.

Οἱ μέχρι τοῦδε γνωστοί μας συγγραφεῖς, ὁ Ξενοφῶν, ὁ Λυσίας, ὁ Ἰσοκράτης κ.ἄ., ἔγραψαν εἰς τὴν λεγομένην ἀττικὴν διάλεκτον, ἤτοι εἰς τὸ γλωσσικὸν ἰδίωμα, τὸ ὁποῖον ἦτο ἐν χρήσει τότε εἰς τὰς Ἀθήνας. Ἡ διάλεκτος αὐτὴ βραδύτερον ἐδέχθη τύπους καὶ λέξεις ἀπὸ τὰς ἄλλας ἐν χρήσει ἑλληνικὰς διαλέκτους, ἤτοι τὴν ἰωνικήν, τὴν δωρικὴν καὶ τὴν αἰολικήν. Τοιουτοτρόπως διὰ τῆς συγχωνεύσεως αὐτῶν διεμορφώθη ἡ λεγομένη κοινὴ γλῶσσα, ἡ ὁποία διὰ τῶν κατακτήσεων τοῦ Μ. Ἀλεξάνδρου ἔλαβεν εὐρυτάτην διάδοσιν. Ἡ κοινὴ αὐτὴ γλῶσσα ὡμιλεῖτο καὶ κατὰ τὸ πλεῖστον ἐγράφετο κατὰ τοὺς χρόνους τοῦ Ἀρριανοῦ. Πολλοὶ ὅμως συγγραφεῖς τῆς μεταγενεστέρας ταύτης ἐποχῆς ἐφιλοτιμοῦντο νὰ μιμηθοῦν τὴν ἀρχαίαν ἀττικὴν διάλεκτον, ἔχοντες ὡς ὑπόδειγμα τὴν γλῶσσαν τοῦ Ξενοφῶντος καὶ τοῦ Θουκυδίδου. Οἱ συγγραφεῖς οὗτοι ὀνομάζονται ἀττικισταί, ἤτοι μιμηταὶ τῆς ἀττικῆς. Τοιοῦτος ἦτο καὶ ὁ Ἀρριανός, ὁ ὁποῖος καὶ εἰς τὴν γλῶσσαν προσεπάθησε νὰ μιμηθῇ τὸν Ἀθηναῖον συγγραφέα τῆς «Κύρου Ἀναβάσεως». Ἡ μίμησίς του εἶναι κατὰ τὸ πλεῖστον ἐπιτυχής, ἂν καὶ ἐνίοτε ἀστοχεῖ εἴς τινας τύπους καὶ συντακτικὰς χρήσεις. Πάντως τὸ ὕφος του, ἰδίως εἰς τὴν «Ἀλεξάνδρου Ἀνάβασιν», ἔχει ζωηρότητα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ φυσικότητα, εἶναι δὲ πρόδηλος ἡ εὐσυνειδησία καὶ ἀμεροληψία τοῦ ἱστορικοῦ.

## ΣΤ'. Ὁ στρατὸς τοῦ Μ. Ἀλεξάνδρου.

1. Ὁ Μακεδονικὸς *πεζικὸς στρατὸς* ἀπετελεῖτο ἀπὸ τὴν φάλαγγα, ἀπὸ τοὺς ὑπασπιστὰς καὶ ἀπὸ τοὺς ψιλούς.

α ) Ἡ φάλαγξ ἀπετέλει τὴν κυρίαν βάσιν τοῦ πεζικοῦ στρατοῦ. Οἱ ἀνήκοντες εἰς αὐτὴν ὠνομάζοντο πεζέταιροι. Ἡ φάλαγξ διηρεῖτο εἰς ἓξ τάξεις, ἤτοι τάγματα· ἑκάστη τάξις εἶχε τρεῖς λόχους καὶ ἕκαστος λόχος 500 περίπου ἄνδρας.

Οἱ φαλαγγῖται ἢ πεζέταιροι ἔφερον πλήρη πανοπλίαν, ἤτοι περικεφαλαίαν, θώρακα, κνημῖδας, κυκλοτερῆ ἀσπίδα καὶ τὴν μακεδονικὴν σάρισσαν ( μακρὸν δόρυ ). Ἐτάσσοντο συνήθως εἰς βάθος 16 ἀνδρῶν. Αἱ δὲ σάρισσαι τῶν πέντε πρώτων σειρῶν προεξεῖχον τῆς ὅλης φάλαγγος καὶ ἐσχημάτιζον ἀδιαπέραστον τεῖχος ἀπὸ αἰχμάς.

β ) Οἱ ὑπασπισταὶ ἦσαν ἐλαφρότερον ὡπλισμένοι. Ἔφερον ἐλαφροτέραν ἀσπίδα, λινοῦν θώρακα, μακρὸν ξίφος καὶ βραχὺ δόρυ. Ἑπομένως ἦσαν ἐπιτήδειοι διὰ ταχείας καὶ τολμηρὰς κινήσεις εἰς μέρη, εἰς τὰ ὁποῖα ἡ φάλαγξ δὲν ἠδύνατο νὰ κινηθῇ. Οὗτοι κατ' ἀρχὰς ἦσαν ὀλιγάριθμοι καὶ ἀπετέλουν τὴν προσωπικὴν φρουρὰν τοῦ βασιλέως, διὰ τοῦτο καὶ ὠνομάσθησαν «ὑπασπισταί». Βραδύτερον ὅμως ἐπολλαπλασιάσθησαν καὶ ἀπετέλεσαν ἴδιον σῶμα εὐκινήτου πεζικοῦ, τὸ ὁποῖον ἀντιστοιχεῖ πρὸς τὸ σῶμα τῶν Ἀθηναίων πελταστῶν.

γ ) Οἱ ψιλοὶ ἦσαν πολὺ ἐλαφρῶς ὡπλισμένοι, ἤτοι ἔφερον ἓν εἶδος ὅπλου, ἀναλόγως τοῦ ὁποίου ὠνομάζοντο πελτασταί, τοξόται, ἀκοντισταὶ ἢ σφενδονῆται.

2. Τὸ *ἱππικὸν* διεκρίνετο : 1 ) Εἰς τὸ βαρὺ ἱππικὸν καὶ 2) εἰς τὸ ἐλαφρόν.

α ) Τὸ βαρὺ ἱππικὸν συνέκειτο ἐξ εὐγενῶν Μακεδόνων, οἱ ὁποῖοι ὠνομάζοντο ἑταῖροι. Οὗτοι ἔφερον περικεφαλαίαν, θώρακα, ξίφος καὶ ξυστόν, ἤτοι βραχεῖαν λόγχην. Οἱ ἑταῖροι ἐσχημάτιζον 8 ἴλας· ἑκάστη δὲ ἴλη εἶχε 150 - 300 ἱππεῖς. Ἡ ἀρίστη τῶν ἰλῶν τούτων ἀπετέλει τὴν βασιλικὴν ἴλην, ἡ ὁποία ἐλέγετο καὶ ἄγημα τῶν ἑταίρων, ἦτο δὲ ἔφιππος σωματοφυλακὴ τοῦ βασιλέως. Μετὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν Μακεδονικῶν ἰλῶν συνέπραττον καὶ ἶλαι Θεσσαλικαὶ ἐξ εὐγενῶν Θεσσαλῶν ἱππέων.

β) Τὸ ἐλαφρὸν ἱππικὸν ἀπετέλουν οἱ ἐλαφρῶς ὡπλισμένοι ἱππεῖς, οἱ ὁποῖοι ἀντὶ ξυστοῦ ἔφερον σάρισσαν. Οὗτοι ὠνομάζοντο πρόδρομοι καὶ ἐξετέλουν χρέη ἀνιχνευτῶν ὡς πρόσκοποι ἢ ἐχρησιμοποιοῦντο διὰ τὴν δίωξιν καὶ σύλληψιν τῶν τρεπομένων εἰς φυγὴν ἀντιπάλων.

3. Ὁ στόλος τοῦ Μ. Ἀλεξάνδρου κατ' ἀρχὰς ἀπετελεῖτο ἐξ 160 πλοίων, μὲ τὰ ὁποῖα διεπεραιώθη εἰς τὴν Ἀσίαν. Βραδύτερον διελύθη, μὴ δυνάμενος νὰ ἐξυπηρετήσῃ τὴν κατὰ ξηρὰν ἐκστρατείαν. Ἀλλὰ διαρκούσης τῆς πολιορκίας τῆς Τύρου συνεκροτήθη νέος ἰσχυρὸς στόλος ἐκ Κυπρίων, Φοινικικῶν καὶ Ἑλληνικῶν τριήρων. Καὶ εἰς τὴν Ἰνδικὴν ὁ Μ. Ἀλέξανδρος κατήρτισεν ἄλλον στόλον, διὰ τοῦ ὁποίου κατέπλευσε τὸν Ἰνδὸν ποταμόν. Μὲ τμῆμα δὲ τοῦ στόλου τούτου ὁ ἐκ Κρήτης ναύαρχος Νέαρχος ἔπλευσε τὸ 327 ἀπὸ τὸν Ἰνδὸν εἰς τὰς ἐκβολὰς τοῦ Τίγρητος καὶ τοῦ Εὐφράτου ποταμοῦ.

## Ζ'. Ἡ κατάστασις εἰς τὴν Ἑλλάδα κατὰ τοὺς πρὸ τοῦ Μ. Ἀλεξάνδρου χρόνους.

Διὰ τὴν παρακολούθησιν τῆς ἐξιστορουμένης ὑπὸ τοῦ Ἀρριανοῦ ἐκστρατείας τοῦ Μ. Ἀλεξάνδρου εἰς τὴν Ἀσίαν καὶ τῆς καθόλου δράσεώς του, πρέπει νὰ ἐνθυμηθῶμεν τὴν κατάστασιν τῆς Ἑλλάδος, ὅπως ἐνεφανίζετο πρὸ τῆς βασιλείας αὐτοῦ.

Μετὰ τὸν μακρὸν Πελοποννησιακὸν πόλεμον κατέπεσεν ἡ ἡγεμονία τῶν Ἀθηνῶν. Ταύτην ἀνέλαβεν ἡ Σπάρτη, ἡ ὁποία ὅμως διὰ τῆς ἀγερώχου πολιτικῆς της προὐκάλεσε τὴν ἀντίδρασιν τῶν ἄλλων ἑλληνικῶν πόλεων. Αὗται συνησπίσθησαν ἐναντίον της, ἡ δὲ Σπάρτη ἐπικαλεῖται τὴν βοήθειαν τῶν Περσῶν, οἱ ὁποῖοι λαμβάνουν εὐκαιρίαν νὰ ἐπέμβουν εἰς τὰ πράγματα τῆς Ἑλλάδος καὶ νὰ ἐπιβάλουν τὰς θελήσεις των διὰ τῆς λεγομένης Ἀνταλκιδείου εἰρήνης (387). Μετ' ὀλίγον αἱ Ἀθῆναι ἀνακύπτουν πρὸς στιγμὴν καὶ ἀναλαμβάνουν ἐκ νέου τὴν κατὰ θάλασσαν ἡγεμονίαν. Ἀλλὰ καὶ αὐτὴ δὲν διατηρεῖται, διότι γρήγορα οἱ Ἀθηναῖοι ἐγκαταλείπονται ἀπὸ τοὺς συμμάχους των. Ἐν τῷ μεταξὺ αἱ Θῆβαι λαμβάνουν μεγάλην ἰσχὺν καὶ διεκδικοῦν τὴν ἡγεμονίαν, λαμπρυνθεῖσαι μὲ τὰς νίκας τοῦ Ἐπαμεινώνδου καὶ τοῦ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πελοπίδου. 'Αλλὰ καὶ ἡ δύναμις τῶν Θηβῶν καταπίπτει μετὰ τὸν θάνατον τοῦ 'Επαμεινώνδου εἰς τὴν ἐν Μαντινείᾳ μάχην ( 362 ). Ἔκτοτε καμμία ἀπὸ τὰς μεγάλας ἑλληνικὰς πόλεις δὲν εἶχε δύναμιν, ἱκανὴν ν' ἀναλάβῃ πρωτοβουλίαν. Μὲ τοὺς ἀνταγωνισμούς των, μὲ τὴν τυφλὴν πολιτικὴν τῆς ἐπικλήσεως βοηθείας ἀπὸ τοὺς φυσικούς των ἐχθρούς, τοὺς Πέρσας, μὲ τὴν ἐσωτερικὴν διοικητικὴν καὶ ἠθικὴν ἀναρχίαν περιέπεσαν ὅλαι εἰς πολιτικὴν ἀδυναμίαν καὶ ἀφάνειαν.

Τότε ἀναφαίνεται μία νέα σφριγῶσα καὶ κραταιὰ ἑλληνικὴ δύναμις, ἡ δύναμις τῶν Μακεδόνων. Ὁ Φίλιππος Β' συλλαμβάνει τὸ σχέδιον τῆς ἑνώσεως ὅλων τῶν Ἑλλήνων εἰς ἀγῶνα κατὰ τῶν Περσῶν, ὡς μόνων φυσικῶν ἀντιπάλων των, καὶ εἰς τὸ συνέδριον τῆς Κορίνθου ( 338 ) ἀνακηρύσσεται ἀρχιστράτηγος τῶν Ἑλλήνων κατὰ τῶν Περσῶν. 'Αλλ' ὁ βίαιος θάνατός του δὲν τὸν ἄφησε νὰ ἐφαρμόσῃ τὸ σχέδιόν του. Ἦλθεν ὅμως ὁ 'Αλέξανδρος νὰ πραγματοποιήσῃ τοῦτο μὲ τὴν μεγαλεπήβολον δρᾶσίν του, ἡ ὁποία ἱστορεῖται εἰς τὸ προκείμενον βιβλίον.





Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Φ. Κύρου

ΜΕΡΟΣ Α'

# ΚΕΙΜΕΝΟΝ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

## Προοίμιον τοῦ συγγραφέως.

Πτολεμαῖος ὁ Λάγου καὶ Ἀριστόβουλος ὁ Ἀριστοβούλου ὅσα 1
μὲν ταὐτὰ ἄμφω περὶ Ἀλεξάνδρου τοῦ Φιλίππου ξυνέγραψαν, ταῦτα
ἐγὼ ὡς πάντη ἀληθῆ ἀναγράφω, ὅσα δ' οὐ ταὐτά, τούτων τὰ πιστό-
τερα ἐμοὶ φαινόμενα καὶ ἅμα ἀξιαφηγητότερα ἐπιλεξάμενος. Ἄλλοι 2
μὲν δὴ ἄλλα ὑπὲρ Ἀλεξάνδρου ἀνέγραψαν, οὐδ' ἔστιν ὑπὲρ ὅτου
πλείονες ἢ ἀξυμφωνότεροι ἐς ἀλλήλους· ἀλλ' ἐμοὶ Πτολεμαῖός τε καὶ
Ἀριστόβουλος πιστότεροι ἔδοξαν ἐς τὴν ἀφήγησιν, ὁ μέν, ὅτι ξυνε-
στράτευσε βασιλεῖ Ἀλεξάνδρῳ, Ἀριστόβουλος· Πτολεμαῖος δὲ πρὸς
τῷ ξυστρατεῦσαι, ὅτι καὶ αὐτῷ βασιλεῖ ὄντι αἰσχρότερον ἢ τῳ ἄλλῳ
ψεύσασθαι ἦν· ἄμφω δέ, ὅτι τετελευτηκότος ἤδη Ἀλεξάνδρου ξυγ-
γράφουσιν αὐτοῖς ἥ τε ἀνάγκη καὶ ὁ μισθὸς τοῦ ἄλλως τι ἢ ὡς ξυνη-
νέχθη ξυγγράψαι ἀπῆν. Ἔστι δὲ ἃ καὶ πρὸς ἄλλων ξυγγεγραμμένα, 3
ὅτι καὶ αὐτὰ ἀξιαφήγητά τέ μοι ἔδοξε καὶ οὐ πάντη ἄπιστα, ὡς λε-
γόμενα μόνον ὑπὲρ Ἀλεξάνδρου ἀνέγραψα. Ὅστις δὲ θαυμάσεται
ἀνθ' ὅτου ἐπὶ τοσούτοις ξυγγραφεῦσι καὶ ἐμοὶ ἐπὶ νοῦν ἦλθεν ἥδε ἡ
ξυγγραφή, τά τε ἐκείνων πάντα τις ἀναλεξάμενος καὶ τοῖσδε τοῖς ἡμε-
τέροις ἐντυχών, οὕτω θαυμαζέτω.

### Ὁ Ἀλέξανδρος ἐν Πελοποννήσῳ ἀναγνωρίζεται ἀρχηγὸς τῶν Ἑλλήνων (336 π. Χ.).

### (Κεφ. 1)

I. Λέγεται δὴ Φίλιππος μὲν τελευτῆσαι ἐπ' ἄρχοντος
Πυθοδήμου Ἀθήνησι· παραλαβόντα δὲ τὴν βασιλείαν Ἀλέ-
ξανδρον, παῖδα ὄντα Φιλίππου, ἐς Πελοπόννησον παρελθεῖν·
εἶναι δὲ τότε ἀμφὶ τὰ εἴκοσιν ἔτη Ἀλέξανδρον. Ἐνταῦθα 2
ξυναγαγόντα τοὺς Ἕλληνας, ὅσοι ἐντὸς Πελοποννήσου ἦσαν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αἰτεῖν παρ' αὐτῶν τὴν ἡγεμονίαν τῆς ἐπὶ τοὺς Πέρσας στρατιᾶς, ἥντινα Φιλίππῳ ἤδη ἔδοσαν· καὶ αἰτήσαντα λαβεῖν παρ' ἑκάστων πλὴν Λακεδαιμονίων· Λακεδαιμονίους δ' ἀποκρίνασθαι μὴ εἶναί σφισι πάτριον ἀκολουθεῖν ἄλλοις, ἀλλ' αὐ-
3 τοὺς ἄλλων ἐξηγεῖσθαι. Νεωτερίσαι δ' ἄττα καὶ τῶν Ἀθηναίων τὴν πόλιν. Ἀλλ' Ἀθηναίους γε τῇ πρώτῃ ἐφόδῳ Ἀλεξάνδρου ἐκπλαγέντας καὶ πλείονα ἔτι τῶν Φιλίππῳ δοθέντων Ἀλεξάνδρῳ ἐς τιμὴν ξυγχωρῆσαι. Ἐπανελθόντα δ' ἐς Μακεδονίαν ἐν παρασκευῇ εἶναι τοῦ ἐς τὴν Ἀσίαν στόλου.

*[ Ὁ Ἀλέξανδρος, ἀφοῦ ἀνεγνωρίσθη ὑπὸ τῆς ἐν Πελοποννήσῳ συνόδου τῶν Ἑλλήνων ἀρχηγὸς τῆς ἐναντίον τῶν Περσῶν στρατιᾶς, ἐπιστρέφει εἰς τὴν Μακεδονίαν. Θέλων δὲ νὰ ἐξασφαλίσῃ τὴν ἀρχήν του, πρὶν ἐπιχειρήσῃ τὴν μεγάλην ἐκστρατείαν του εἰς τὴν Ἀσίαν, στρέφεται πρὸς Β. τὴν ἄνοιξιν τοῦ 335 π.Χ. καὶ ὑποτάσσει τοὺς πέριξ τῆς Μακεδονίας λαούς, Θρᾷκας, Γέτας, Τριβαλλούς, Ἰλλυριοὺς κλπ. Ἀλλ' ἐνῷ ἐπολέμει εἰσέτι κατ' αὐτῶν, πληροφορεῖται τὴν ἀποστασίαν τῶν Θηβαίων. Τότε ὡς ἀστραπὴ καταφθάνει εἰς τὴν Ἑλλάδα καὶ στρατοπεδεύει ἔξωθεν τῶν Θηβῶν. Μετὰ σκληρὸν ἀγῶνα κυριεύει τὴν πόλιν καὶ ἐγκαθιστᾷ εἰς τὴν Καδμείαν μακεδονικὴν φρουράν. Μετὰ τοῦτο ἐπιστρέφει καὶ πάλιν εἰς Μακεδονίαν, ὅπου συμπληρώνει τὰς ἑτοιμασίας του, διὰ ν' ἀρχίσῃ τὴν πρὸς τὴν Ἀσίαν πορείαν ].*

### Διάβασις τοῦ Ἀλεξάνδρου εἰς Ἀσίαν (334 π.Χ.)

### (Κεφ. 11 - 12)

3 XI. Ἅμα δὲ τῷ ἦρι ἀρχομένῳ ἐξελαύνει ἐφ' Ἑλλησπόντου, τὰ μὲν κατὰ Μακεδονίαν τε καὶ τοὺς Ἕλληνας Ἀντιπάτρῳ ἐπιτρέψας, αὐτὸς δ' ἄγων πεζοὺς μὲν ξὺν ψιλοῖς τε καὶ τοξόταις οὐ πολλῷ πλείους τῶν τρισμυρίων, ἱππέας δὲ ὑπὲρ τοὺς πεντακισχιλίους. Ἦν δὲ αὐτῷ ὁ στόλος παρὰ τὴν λίμνην τὴν Κερκινῖτιν ὡς ἐπ' Ἀμφίπολιν καὶ τοῦ Στρυμόνος ποτα-
4 μοῦ τὰς ἐκβολάς. Διαβὰς δὲ τὸν Στρυμόνα παρήμειβε τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πάγγαιον ὄρος τὴν ὡς ἐπ' Ἄβδηρα καὶ Μαρώνειαν, πόλεις
Ἑλληνίδας ἐπὶ θαλάσσῃ ᾠκισμένας. Ἔνθεν δ' ἐπὶ τὸν Ἕβρον
ποταμὸν ἀφικόμενος διαβαίνει καὶ τὸν Ἕβρον εὐπετῶς.
'Εκεῖθεν δὲ διὰ τῆς Παιτικῆς ἐπὶ τὸν Μέλανα ποταμὸν ἔρχεται.
Διαβὰς δὲ καὶ τὸν Μέλανα ἐς Σηστὸν ἀφικνεῖται ἐν εἴκοσι 5
ταῖς πάσαις ἡμέραις ἀπὸ τῆς οἴκοθεν ἐξορμήσεως. 'Ελθὼν
δ' ἐς 'Ελαιοῦντα θύει Πρωτεσιλάῳ ἐπὶ τῷ τάφῳ τοῦ Πρωτε-
σιλάου, ὅτι καὶ Πρωτεσίλαος πρῶτος ἐδόκει ἐκβῆναι ἐς τὴν
'Ασίαν τῶν Ἑλλήνων τῶν ἅμα 'Αγαμέμνονι ἐς Ἴλιον στρα-
τευσάντων. Καὶ ὁ νοῦς τῆς θυσίας ἦν ἐπιτυχεστέραν οἱ γενέ-
σθαι ἢ Πρωτεσιλάῳ τὴν ἀπόβασιν.

Παρμενίων μὲν δὴ τῶν τε πεζῶν τοὺς πολλοὺς καὶ τὴν 6
ἵππον διαβιβάσαι ἐτάχθη ἐκ Σηστοῦ ἐς Ἄβυδον· καὶ διέβη-
σαν τριήρεσι μὲν ἑκατὸν καὶ ἑξήκοντα, πλοίοις δὲ ἄλλοις πολ-
λοῖς στρογγύλοις. 'Αλέξανδρον δ' ἐξ 'Ελαιοῦντος ἐς τὸν
'Αχαιῶν λιμένα καταῖραι ὁ πλείων λόγος κατέχει, καὶ αὐτόν τε
κυβερνῶντα τὴν στρατηγίδα ναῦν διαβάλλειν καὶ ἐπειδὴ κατὰ
μέσον τὸν πόρον τοῦ Ἑλλησπόντου ἐγένετο, σφάξαντα ταῦ-
ρον τῷ Ποσειδῶνι καὶ Νηρῃσι σπένδειν ἐκ χρυσῆς φιάλης
ἐς τὸν πόντον.

Λέγουσι δὲ καὶ πρῶτον ἐκ τῆς νεὼς ξὺν τοῖς ὅπλοις ἐκ- 7
βῆναι αὐτὸν ἐς τὴν γῆν τὴν 'Ασίαν καὶ βωμοὺς ἱδρύσασθαι,
ὅθεν τ' ἐστάλη ἐκ τῆς Εὐρώπης καὶ ὅπου ἐξέβη τῆς Ἀσίας,
Διὸς ἀποβατηρίου καὶ 'Αθηνᾶς καὶ Ἡρακλέους. 'Ανελθόντα
δ' ἐς Ἴλιον τῇ τε 'Αθηνᾷ θῦσαι τῇ 'Ιλιάδι καὶ τὴν πανοπλίαν
τὴν αὑτοῦ ἀναθεῖναι ἐς τὸν νεὼν καὶ καθελεῖν ἀντὶ ταύτης
τῶν ἱερῶν τινα ὅπλων ἔτι ἐκ τοῦ Τρωικοῦ ἔργου σῳζόμενα.
Καὶ ταῦτα λέγουσιν ὅτι οἱ ὑπασπισταὶ ἔφερον πρὸ αὐτοῦ ἐς
τὰς μάχας. Θῦσαι δ' αὐτὸν καὶ Πριάμῳ ἐπὶ τοῦ βωμοῦ τοῦ
Διὸς τοῦ Ἑρκείου λόγος κατέχει, μῆνιν Πριάμου παραιτού-
μενον τῷ Νεοπτολέμου γένει, ὃ δὴ ἐς αὐτὸν καθῆκεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

XII. Ἀνιόντα δ' αὐτὸν ἐς Ἴλιον Μενοίτιός τε ὁ κυβερνήτης χρυσῷ στεφάνῳ ἐστεφάνωσε καὶ ἐπὶ τούτῳ Χάρης ὁ Ἀθηναῖος ἐκ Σιγείου ἐλθὼν καί τινες καὶ ἄλλοι, οἱ μὲν Ἕλληνες, οἱ δὲ ἐπιχώριοι· ὁ δὲ καὶ αὐτὸς τὸν Ἀχιλλέως ἄρα τάφον ἐστεφάνωσεν· Ἡφαιστίωνα δὲ λέγουσιν ὅτι τοῦ Πατρόκλου τὸν τάφον ἐστεφάνωσε· καὶ εὐδαιμόνισεν ἄρα, ὡς λόγος, Ἀλέξανδρος Ἀχιλλέα, ὅτι Ὁμήρου κήρυκος ἐς τὴν ἔπειτα μνήμην ἔτυχεν . .

6 Ἐξ Ἰλίου δ' ἐς Ἀρίσβην ἧκεν, οὗ πᾶσα ἡ δύναμις αὐτῷ διαβεβηκυῖα τὸν Ἑλλήσποντον ἐστρατοπεδεύκει, καὶ τῇ ὑστεραίᾳ ἐς Περκώτην· τῇ δ' ἄλλῃ Λάμψακον παραμείψας πρὸς τῷ Πρακτίῳ ποταμῷ ἐστρατοπέδευσεν, ὃς ῥέων ἐκ τῶν ὀρῶν τῶν Ἰδαίων ἐκδιδοῖ ἐς θάλασσαν τὴν μεταξὺ τοῦ Ἑλλησπόντου τε καὶ τοῦ Εὐξείνου πόντου. Ἔνθεν δ' ἐς Ἕρμωτον ἀφί-
7 κετο, Κολωνὰς πόλιν παραμείψας. Σκοποὶ δ' αὐτῷ ἐπέμποντο πρὸ τοῦ στρατεύματος· καὶ τούτων ἡγεμὼν ἦν Ἀμύντας ὁ Ἀρραβαίου, ἔχων τῶν τε ἑταίρων τὴν ἴλην τὴν ἐξ Ἀπολλωνίας, ἧς ἰλάρχης ἦν Σωκράτης ὁ Σάθωνος, καὶ τῶν προδρόμων καλουμένων ἴλας τέσσαρας. Κατὰ δὲ τὴν πάροδον Πρίαπον πόλιν ἐνδοθεῖσαν πρὸς τῶν ἐνοικούντων τοὺς παραληψομένους ἀπέστειλε σὺν Πανηγόρῳ τῷ Λυκαγόρου, ἑνὶ τῶν ἑταίρων.

8 Περσῶν δὲ στρατηγοὶ ἦσαν Ἀρσάμης καὶ Ῥεομίθρης καὶ Πετίνης καὶ Νιφάτης καὶ ξὺν τούτοις Σπιθριδάτης, ὁ Λυδίας καὶ Ἰωνίας σατράπης, καὶ Ἀρσίτης, ὁ τῆς πρὸς Ἑλλησπόντῳ Φρυγίας ὕπαρχος. Οὗτοι δὲ πρὸς Ζελείᾳ πόλει κατεστρατοπεδευκότες ἦσαν ξὺν τῇ ἵππῳ τε τῇ βαρβαρικῇ καὶ τοῖς Ἕλλησι τοῖς μισθοφόροις.

9 Βουλευομένοις δ' αὐτοῖς ὑπὲρ τῶν παρόντων, ἐπειδὴ Ἀλέξανδρος διαβεβηκὼς ἠγγέλετο, Μέμνων ὁ Ῥόδιος παρήνει μὴ διὰ κινδύνου ἰέναι πρὸς τοὺς Μακεδόνας τῷ τε πε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζῷ πολὺ περιόντας σφῶν καὶ αὐτοῦ 'Αλεξάνδρου παρόντος, αὐτοῖς δ' ἀπόντος Δαρείου· προϊόντας δὲ τόν τε χιλὸν ἀφανίζειν καταπατοῦντας τῇ ἵππῳ καὶ τὸν ἐν τῇ γῇ καρπὸν ἐμπιπράναι, μηδὲ τῶν πόλεων αὐτῶν φειδομένους. Οὐ γὰρ μενεῖν ἐν τῇ χώρᾳ 'Αλέξανδρον ἀπορίᾳ τῶν ἐπιτηδείων. 'Αρ- 10
σίτην δὲ λέγεται εἰπεῖν ἐν τῷ συλλόγῳ τῶν Περσῶν, ὅτι οὐκ ἂν περιίδοι μίαν οἰκίαν ἐμπρησθεῖσαν τῶν ὑφ' οἷ τεταγμένων ἀνθρώπων· καὶ τοὺς Πέρσας 'Αρσίτῃ προσθέσθαι, ὅτι καὶ ὕποπτόν τι αὐτοῖς ἦν ἐς τὸν Μέμνονα τριβὰς ἐμποιεῖν ἑκόντα τῷ πολέμῳ τῆς ἐκ βασιλέως τιμῆς οὕνεκα.

### Ἡ πρώτη μάχη παρὰ τὸν Γρανικὸν ποταμὸν ( 334 π. Χ. ).

#### α') Ἡ προετοιμασία διὰ τὴν μάχην.

#### ( Κεφ. 13 - 14 )

XIII. 'Εν τούτῳ δ' 'Αλέξανδρος προὐχώρει ἐπὶ τὸν Γρανικὸν ποταμὸν ξυντεταγμένῳ τῷ στρατῷ, διπλῆν μὲν τὴν φάλαγγα τῶν ὁπλιτῶν τάξας, τοὺς δ' ἱππέας κατὰ τὰ κέρατα ἀγαγών, τὰ σκευοφόρα δὲ κατόπιν ἐπιτάξας ἕπεσθαι· τοὺς δὲ προκατασκεψομένους τὰ τῶν πολεμίων ἦγεν αὐτῷ Ἡγέλοχος, ἱππέας μὲν ἔχων τοὺς σαρισσοφόρους, τῶν δὲ ψιλῶν ἐς πεντακοσίους. Καὶ 'Αλέξανδρός τ' οὐ πολὺ ἀπεῖχε τοῦ ποταμοῦ 2
τοῦ Γρανικοῦ, καὶ οἱ ἀπὸ τῶν σκοπῶν σπουδῇ ἐλαύνοντες ἀπήγγελλον ἐπὶ τῷ Γρανικῷ πέραν τοὺς Πέρσας ἐφεστάναι τεταγμένους ὡς ἐς μάχην. Ἔνθα δὴ 'Αλέξανδρος μὲν τὴν στρατιὰν πᾶσαν ξυνέταττεν ὡς μαχουμένους.

Παρμενίων δὲ προσελθὼν λέγει 'Αλεξάνδρῳ τάδε· « 'Εμοὶ 3
δοκεῖ, βασιλεῦ, ἀγαθὸν εἶναι ἐν τῷ παρόντι καταστρατοπεδεῦσαι ἐπὶ τοῦ ποταμοῦ τῇ ὄχθῃ, ὡς ἔχομεν. Τοὺς γὰρ πολεμίους οὐ δοκῶ τολμήσειν πολὺ τῷ πεζῷ λειπομένους πλησίον ἡμῶν αὐλισθῆναι, καὶ ταύτῃ παρέξειν ἕωθεν εὐπετῶς τῷ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στρατῷ διαβαλεῖν τὸν πόρον· ὑποφθάσομεν γὰρ αὐτοὶ περά-
4 σαντες, πρὶν ἐκείνους ἐς τάξιν καθίστασθαι. Νῦν δ' οὐκ ἀκιν-
δύνως μοι δοκοῦμεν ἐπιχειρήσειν τῷ ἔργῳ, ὅτι οὐχ οἷόν τ' ἐν
μετώπῳ διὰ τοῦ ποταμοῦ ἄγειν τὸν στρατόν. Πολλὰ μὲν γὰρ
αὐτοῦ ὁρᾶται βαθέα, αἱ δ' ὄχθαι αὗται ὁρᾷς ὅτι ὑπερύψηλοι
5 καὶ κρημνώδεις εἰσὶν αἱ αὐτῶν· ἀτάκτως τ' οὖν καὶ κατὰ κέ-
ρας, ᾗπερ ἀσθενέστατον, ἐκβαίνουσιν ἐπικείσονται ἐς φάλαγ-
γα ξυντεταγμένοι τῶν πολεμίων οἱ ἱππεῖς· καὶ τὸ πρῶτον
σφάλμα ἔς τε τὰ παρόντα χαλεπὸν καὶ ἐς τὴν ὑπὲρ παντὸς
τοῦ πολέμου κρίσιν σφαλερόν ».

6 Ἀλέξανδρος δέ, « ταῦτα μέν », ἔφη, « ὦ Παρμενίων, γι-
γνώσκω· αἰσχύνομαι δέ, εἰ τὸν μὲν Ἑλλήσποντον διέβην εὐ-
πετῶς, τοῦτο δέ, σμικρὸν ῥεῦμα, — οὕτω τῷ ὀνόματι τὸν Γρα-
νικὸν ἐκφαυλίσας, — εἵρξει ἡμᾶς τοῦ μὴ οὐ διαβῆναι, ὡς ἔχο-
7 μεν. Καὶ τοῦτο οὔτε πρὸς Μακεδόνων τῆς δόξης οὔτε πρὸς
τῆς ἐμῆς ἐς τοὺς κινδύνους ὀξύτητος ποιοῦμαι· ἀναθαρρή-
σειν τε δοκῶ τοὺς Πέρσας ὡς ἀξιομάχους Μακεδόσιν ὄντας,
ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους ἐν τῷ παραυτίκα ἔπαθον ».

XIV. Ταῦτα εἰπὼν Παρμενίωνα μὲν ἐπὶ τὸ εὐώνυμον κέ-
ρας πέμπει ἡγησόμενον, αὐτὸς δ' ἐπὶ τὸ δεξιὸν παρῆγε. Προ-
ετάχθησαν δ' αὐτῷ τοῦ μὲν δεξιοῦ Φιλώτας ὁ Παρμενίωνος,
ἔχων τοὺς ἑταίρους τοὺς ἱππέας καὶ τοὺς τοξότας καὶ τοὺς
Ἀγριᾶνας τοὺς ἀκοντιστάς· Ἀμύντας δὲ ὁ Ἀρραβαίου τούς
τε σαρισσοφόρους ἱππέας ἔχων Φιλώτᾳ ἐπετάχθη καὶ τοὺς
2 Παίονας καὶ τὴν ἴλην τὴν Σωκράτους. Ἐχόμενοι δὲ τούτων
ἐτάχθησαν οἱ ὑπασπισταὶ τῶν ἑταίρων, ὧν ἡγεῖτο Νικάνωρ
ὁ Παρμενίωνος· ἐπὶ δὲ τούτοις ἡ Περδίκκου τοῦ Ὀρόντου
φάλαγξ· ἐπὶ δὲ ἡ Κοίνου τοῦ Πολεμοκράτους· ἐπὶ δὲ ἡ Κρα-
τέρου τοῦ Ἀλεξάνδρου· ἐπὶ δὲ ἡ Ἀμύντου τοῦ Ἀνδρομέ-
3 νους· ἐπὶ δὲ ὧν Φίλιππος ὁ Ἀμύντου ἦρχε. Τοῦ δ' εὐωνύμου
πρῶτοι μὲν οἱ Θετταλοὶ ἱππεῖς ἐτάχθησαν, ὧν ἡγεῖτο Κάλας

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁ 'Αρπάλου· ἐπὶ δὲ τούτοις οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Φί-
λιππος ὁ Μενελάου· ἐπὶ δὲ τούτοις οἱ Θρᾷκες, ὧν ἦρχεν
'Αγάθων· ἐχόμενοι δὲ τούτων πεζοὶ ἥ τε Κρατέρου φάλαγξ
καὶ ἡ Μελεάγρου καὶ ἡ Φιλίππου ἔστ' ἐπὶ τὸ μέσον τῆς ξυμ-
πάσης τάξεως.

Περσῶν δὲ ἱππεῖς μὲν ἦσαν ἐς δυσμυρίους, ξένοι δὲ πεζοὶ 4
μισθοφόροι ὀλίγον ἀποδέοντες δισμυρίων· ἐτάχθησαν δὲ τὴν
μὲν ἵππον παρατείναντες τῷ ποταμῷ κατὰ τὴν ὄχθην ἐπὶ
φάλαγγα μακράν, τοὺς δὲ πεζοὺς κατόπιν τῶν ἱππέων· καὶ
γὰρ ὑπερδέξια ἦν τὰ ὑπὲρ τὴν ὄχθην χωρία. Ἧ δ' 'Αλέξαν-
δρον αὐτὸν καθεώρων — δῆλος γὰρ ἦν τῶν τε ὅπλων τῇ λαμ-
πρότητι καὶ τῶν ἀμφ' αὐτὸν τῇ ξὺν ἐκπλήξει θεραπείᾳ —
κατὰ τὸ εὐώνυμον σφῶν ἐπέχοντα, ταύτῃ πυκνὰς ἐπέταξαν
τῇ ὄχθῃ τὰς ἴλας τῶν ἱππέων.

Χρόνον μὲν δὴ ἀμφότερα τὰ στρατεύματα ἐπ' ἄκρου τοῦ 5
ποταμοῦ ἐφεστῶτες ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν ἡσυχίαν ἦγον,
καὶ σιγὴ ἦν πολλὴ ἀφ' ἑκατέρων. Οἱ γὰρ Πέρσαι προσέμενον
τοὺς Μακεδόνας, ὁπότε ἐσβήσονται ἐς τὸν πόρον, ὡς ἐπικει-
σόμενοι ἐκβαίνουσιν· 'Αλέξανδρος δ' ἀναπηδήσας ἐπὶ τὸν ἵπ- 6
πον καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος ἕπεσθαί τε καὶ ἄν-
δρας ἀγαθοὺς γίγνεσθαι, τοὺς μὲν προδρόμους ἱππέας καὶ
μὴν καὶ τοὺς Παίονας προεμβαλεῖν ἐς τὸν ποταμὸν ἔχοντα
'Αμύνταν τὸν 'Αρραβαίου ἔταξε καὶ τῶν πεζῶν μίαν τάξιν,
καὶ πρὸ τούτων τὴν Σωκράτους ἴλην Πτολεμαῖον τὸν Φι-
λίππου ἄγοντα, ᾗ δὴ καὶ ἐτύγχανε τὴν ἡγεμονίαν τοῦ ἱππικοῦ
παντὸς ἔχουσα ἐκείνῃ τῇ ἡμέρᾳ· αὐτὸς δ' ἄγων τὸ δεξιὸν κέ- 7
ρας ὑπὸ σαλπίγγων τε καὶ τῷ 'Ενυαλίῳ ἀλαλάζοντας ἐμβαί-
νει ἐς τὸν πόρον, λοξὴν ἀεὶ παρατείνων τὴν τάξιν, ᾗ παρεῖλ-
κε τὸ ῥεῦμα, ἵνα δὴ μὴ ἐκβαίνοντι αὐτῷ οἱ Πέρσαι κατὰ
κέρας προσπίπτοιεν, ἀλλὰ καὶ αὐτὸς ὡς ἀνυστὸν τῇ φάλαγ-
γι προσμείξῃ αὐτοῖς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### β') Ἔναρξις καὶ διεξαγωγὴ τῆς μάχης.

### (Κεφ. 15)

XV. Οἱ δὲ Πέρσαι, ᾗ πρῶτοι οἱ ἀμφὶ Ἀμύνταν καὶ Σω-
κράτην προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνωθεν ἔβαλ-
λον, οἱ μὲν αὐτῶν ἀπὸ τῆς ὄχθης ἐξ ὑπερδεξίου ἐς τὸν ποτα-
μὸν ἐσακοντίζοντες, οἱ δὲ κατὰ τὰ χθαμαλώτερα αὐτῆς ἔστ'
2 ἐπὶ τὸ ὕδωρ καταβαίνοντες. Καὶ ἦν τῶν τε ἱππέων ὠθισμός,
τῶν μὲν ἐκβαίνειν ἐκ τοῦ ποταμοῦ, τῶν δ' εἴργειν τὴν ἔκβα-
σιν, καὶ παλτῶν ἀπὸ μὲν τῶν Περσῶν πολλὴ ἄφεσις, οἱ Μα-
κεδόνες δὲ ξὺν τοῖς δόρασιν ἐμάχοντο. Ἀλλὰ τῷ τε πλήθει
πολὺ ἐλαττούμενοι οἱ Μακεδόνες ἐκακοπάθουν ἐν τῇ πρώτῃ
προσβολῇ καὶ αὐτοὶ ἐξ οὐ βεβαίου τε καὶ ἅμα κάτωθεν ἐκ
τοῦ ποταμοῦ ἀμυνόμενοι, οἱ δὲ Πέρσαι ἐξ ὑπερδεξίου τῆς
ὄχθης· ἄλλως τε καὶ τὸ κράτιστον τῆς Περσικῆς ἵππου ταύ-
τῃ ἐπετέτακτο, οἵ τε Μέμνονος παῖδες καὶ αὐτὸς ὁ Μέμνων
μετὰ τούτων ἐκινδύνευε.
3 Καὶ οἱ μὲν πρῶτοι τῶν Μακεδόνων ξυμμείξαντες τοῖς
Πέρσαις κατεκόπησαν πρὸς αὐτῶν, ἄνδρες ἀγαθοὶ γενόμε-
νοι, ὅσοι γε μὴ πρὸς Ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐ-
τῶν. Ἀλέξανδρος γὰρ ἤδη πλησίον ἦν, ἅμα οἷ ἄγων τὸ κέ-
ρας τὸ δεξιόν, καὶ ἐμβάλλει ἐς τοὺς Πέρσας πρῶτος, ἵνα τὸ
πᾶν στῖφος τῆς ἵππου καὶ αὐτοὶ οἱ ἡγεμόνες τῶν Περσῶν
4 τεταγμένοι ἦσαν· καὶ περὶ αὐτὸν ξυνειστήκει μάχη καρτερά·
καὶ ἐν τούτῳ ἄλλαι ἐπ' ἄλλαις τῶν τάξεων τοῖς Μακεδόσι
διέβαινον οὐ χαλεπῶς ἤδη. Καὶ ἦν μὲν ἀπὸ τῶν ἵππων ἡ
μάχη, πεζομαχίᾳ δὲ μᾶλλόν τι ἐῴκει· ξυνεχόμενοι γὰρ ἵπποι
τε ἵπποις καὶ ἄνδρες ἀνδράσιν ἠγωνίζοντο, οἱ μὲν ἐξῶσαι
ἐς ἅπαν ἀπὸ τῆς ὄχθης καὶ ἐς τὸ πεδίον βιάσασθαι τοὺς
Πέρσας, οἱ Μακεδόνες, οἱ δὲ εἶρξαί τε αὐτῶν τὴν ἔκβασιν,
5 οἱ Πέρσαι, καὶ ἐς τὸν ποταμὸν αὖθις ἀπώσασθαι. Καὶ ἐκ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιλέα, καὶ ὅτι οὗτος αὐτοῖς καταπαύσει τὴν στάσιν. Ἔτι δὲ περὶ αὐτῶν τούτων βουλευομένοις ἐλθεῖν τὸν Μίδαν ὁμοῦ τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ ἐπιστῆναι τῇ ἐκκλησίᾳ αὐτῇ ἁμάξῃ. Τοὺς δὲ ξυμβαλόντας τὸ μαντεῖον τοῦτον ἐκεῖνον γνῶναι 6
ὄντα, ὅντινα ὁ θεὸς αὐτοῖς ἔφραζεν, ὅτι ἄξει ἡ ἅμαξα· καὶ καταστῆσαι μὲν αὐτοὺς βασιλέα τὸν Μίδαν, Μίδαν δ' αὐτοῖς τὴν στάσιν καταπαῦσαι, καὶ τὴν ἅμαξαν τοῦ πατρὸς ἐν τῇ ἄκρᾳ ἀναθεῖναι χαριστήριον τῷ Διὶ τῷ βασιλεῖ ἐπὶ τοῦ ἀετοῦ τῇ πομπῇ. Πρὸς δὲ δὴ τούτοις καὶ τόδε περὶ τῆς ἁμάξης ἐμυθεύετο, ὅστις λύσειε τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν, τοῦτον χρῆναι ἄρξαι τῆς Ἀσίας. Ἦν δὲ ὁ δεσμὸς ἐκ φλοιοῦ κρανείας, καὶ τούτου οὔτε τέλος οὔτ' ἀρχὴ ἐφαίνετο. Ἀλέξανδρος δέ, ὡς ἀπόρως μὲν εἶχεν ἐξευρεῖν λύσιν τοῦ δεσμοῦ, ἄλυτον δὲ περιιδεῖν οὐκ ἤθελε, μή τινα καὶ τοῦτο ἐς τοὺς πολλοὺς κίνησιν ἐργάσηται, οἱ μὲν λέγουσιν, ὅτι παίσας τῷ ξίφει διέκοψε τὸν δεσμὸν καὶ λελύσθαι ἔφη· Ἀριστόβουλος δὲ λέγει, ἐξελόντα τὸν ἕστορα τοῦ ῥυμοῦ, ὃς ἦν τύλος διαβεβλημένος διὰ τοῦ ῥυμοῦ διαμπάξ, ξυνέχων τὸν δεσμόν, ἐξελκύσαι ἔξω τοῦ ῥυμοῦ τὸν ζυγόν. Ὅπως μὲν δὴ ἐπράχθη τὰ 8
ἀμφὶ τῷ δεσμῷ τούτῳ Ἀλεξάνδρῳ, οὐκ ἔχω ἰσχυρίσασθαι. Ἀπηλλάγη δ' οὖν ἀπὸ τῆς ἁμάξης αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ὡς τοῦ λογίου τοῦ ἐπὶ τῇ λύσει τοῦ δεσμοῦ ξυμβεβηκότος. Καὶ γὰρ καὶ τῆς νυκτὸς ἐκείνης βρονταί τε καὶ σέλας ἐξ οὐρανοῦ ἐπεσήμηναν· καὶ ἐπὶ τούτοις ἔθυε τῇ ὑστεραίᾳ Ἀλέξανδρος τοῖς φήνασι θεοῖς τά τε σημεῖα καὶ τοῦ δεσμοῦ τὴν λύσιν.

*[Ἐκ τοῦ Γορδίου τῆς Φρυγίας ὁ Ἀλέξανδρος προελαύνει καὶ καταλαμβάνει τὴν Ἄγκυραν, ἡ ὁποία ἦτο κέντρον μεγάλων ἐμπορικῶν ὁδῶν. Τρέπεται ἔπειτα πρὸς νότον. Προχωρεῖ ὁρμητικῶς πρὸς τὴν Καππαδοκίαν, διέρχεται τὸν Ἅλυν ποταμὸν καὶ ὑποτάσσει τὴν χώραν ἄνευ ἀντιστάσεως. Ἔπειτα διαβαίνει τὰ στενὰ τῆς Κιλικίας*



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*καὶ φθάνει εἰς τὴν πρωτεύουσαν αὐτῆς Ταρσόν, τὴν ὁποίαν διαρρέει ὁ Κύδνος ποταμός ].*

**῾Ο ᾿Αλέξανδρος καὶ ὁ ἰατρός του.**

**( Κεφ. 4 )**

7 IV. ᾿Αλέξανδρος δέ, ὡς μὲν ᾿Αριστοβούλῳ λέλεκται, ὑπὸ
καμάτου ἐνόσησεν· οἱ δὲ ἐς τὸν Κύδνον ποταμὸν λέγουσι ῥί-
ψαντα νήξασθαι, ἐπιθυμήσαντα τοῦ ὕδατος, ἱδροῦντι καὶ
καύματι ἐχόμενον. ῾Ο δὲ Κύδνος ῥεῖ διὰ μέσου τῆς πόλεως·
οἷα δὲ ἐκ Ταύρου ὄρους τῶν πηγῶν οἱ ἀνισχουσῶν καὶ διὰ
χώρου καθαροῦ ῥέων, ψυχρός τέ ἐστι καὶ τὸ ὕδωρ καθαρός·
8 σπασμῷ τε οὖν ἔχεσθαι ᾿Αλέξανδρον καὶ θέρμαις ἰσχυραῖς
καὶ ἀγρυπνίᾳ ξυνεχεῖ. Καὶ τοὺς μὲν ἄλλους ἰατροὺς οὐκ οἴε-
σθαι εἶναι βιώσιμον. Φίλιππον δὲ ᾿Ακαρνᾶνα, ἰατρόν, ξυν-
όντα ᾿Αλεξάνδρῳ καὶ τά τε ἀμφὶ ἰατρικὴν ἐς τὰ μάλιστα
πιστευόμενον καὶ τὰ ἄλλα οὐκ ἀδόκιμον ἐν τῷ στρατῷ ὄντα,
καθῆραι ἐθέλειν ᾿Αλέξανδρον φαρμάκῳ· καὶ τὸν κελεύειν
καθῆραι.
9 Τὸν μὲν δὴ παρασκευάζειν τὴν κύλικα· ἐν τούτῳ δὲ ᾿Αλε-
ξάνδρῳ δοθῆναι ἐπιστολὴν παρὰ Παρμενίωνος φυλάξασθαι
Φίλιππον· ἀκούειν γὰρ διεφθάρθαι ὑπὸ Δαρείου χρήμασιν,
ὥστε φαρμάκῳ ἀποκτεῖναι ᾿Αλέξανδρον. Τὸν δέ, ἀναγνόντα
τὴν ἐπιστολὴν καὶ ἔτι μετὰ χεῖρας ἔχοντα, αὐτὸν μὲν λαβεῖν
τὴν κύλικα, ἐν ᾗ ἦν τὸ φάρμακον· τὴν ἐπιστολὴν δὲ τῷ Φι-
10 λίππῳ δοῦναι ἀναγνῶναι. Καὶ ὁμοῦ τόν τε ᾿Αλέξανδρον πί-
νειν καὶ τὸν Φίλιππον ἀναγινώσκειν τὰ παρὰ τοῦ Παρμε-
νίωνος. Φίλιππον δὲ εὐθὺς ἔνδηλον γενέσθαι, ὅτι καλῶς οἱ
ἔχει τὰ τοῦ φαρμάκου· οὐ γὰρ ἐκπλαγῆναι πρὸς τὴν ἐπιστο-
λήν, ἀλλὰ τοσόνδε μόνον παρακαλέσαι ᾿Αλέξανδρον καὶ ἐς
τὰ ἄλλα οἱ πείθεσθαι, ὅσα ἐπαγγέλλοιτο· σωθήσεσθαι γὰρ
11 πειθόμενον. Καὶ τὸν μὲν καθαρθῆναί τε καὶ ῥαΐσαι αὐτῷ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ νόσημα· Φιλίππῳ δὲ ἐπιδεῖξαι, ὅτι πιστός ἐστιν αὐτῷ φίλος, καὶ τοῖς ἄλλοις δὲ τοῖς ἀμφ' αὐτόν, ὅτι αὐτοῖς τε τοῖς φίλοις βέβαιος ἐς τὸ ἀνύποπτον τυγχάνει ὢν καὶ πρὸς τὸ ἀποθανεῖν ἐρρωμένος.

*[ Μετὰ τὴν ἴασίν του ὁ 'Αλέξανδρος τρέπεται νοτιώτερον ἀκόμη. Καταλαμβάνει τὴν πόλιν 'Αγχίαλον καὶ ὑποτάσσει τὰς ὀρεινὰς φυλὰς τῆς Κιλικίας, ἵνα ἔχῃ τὰ νῶτά του πλήρως ἐξησφαλισμένα. Μετὰ τοῦτο ἐπιστρέφει εἰς τὴν Ταρσὸν καὶ ἐκεῖθεν τὸ μὲν ἱππικόν του ἀποστέλλει ὑπὸ τὸν Φιλώταν εἰς τὸν ποταμὸν Πύραμον, αὐτὸς δὲ ἔρχεται μὲ τὸν ὑπόλοιπον στρατόν του εἰς τὴν πόλιν τῆς Κιλικίας Μαλλόν. 'Εκεῖ πληροφορεῖται, ὅτι ὁ Δαρεῖος μὲ πολυάριθμον στράτευμα ἔχει στρατοπεδεύσει εἰς Σώχους. Οὗτοι ἦσαν πόλις τῆς 'Ασσυρίας, ἀπέχουσα δύο ἡμερῶν δρόμον ἀπὸ τὰ στενὰ τοῦ 'Αμανοῦ ὄρους καὶ κειμένη εἰς πολὺ ἀναπεπταμένον πεδίον κατάλληλον διὰ νὰ κινῆται ἐλευθέρως ὁ πολυάριθμος περσικὸς στρατός.*

*῾Ο 'Αλέξανδρος διαβαίνει τὰ στενὰ καὶ προχωρεῖ πρὸς τὴν 'Ισσόν. 'Αφήνει ἐκεῖ τοὺς ἀσθενεῖς καὶ διὰ τῆς παραλιακῆς ὁδοῦ ἔρχεται εἰς τὴν πόλιν τῆς Συρίας Μυρίανδρον, ὁπόθεν ἐσκόπευε νὰ εἰσβάλῃ τὴν ἑπομένην ἡμέραν εἰς τὴν 'Ασσυρίαν πρὸς ἀντιμετώπισιν τοῦ περσικοῦ στρατοῦ. 'Αλλὰ σφοδρὰ καταιγὶς καὶ ὁρμητικὴ θύελλα τὸν ἠνάγκασαν νὰ παραμείνῃ ἐκεῖ. 'Εν τῷ μεταξὺ ὁ Δαρεῖος παρεξηγήσας τὴν βραδύτητα τοῦ 'Αλεξάνδρου ἐνόμισεν, ὅτι οὗτος ἐφοβεῖτο νὰ τὸν ἀντιμετωπίσῃ. Τὴν ἰδέαν αὐτὴν ἐνίσχυσαν καὶ διάφοροι κόλακες, οἱ ὁποῖοι περιεστοίχιζον τὸν μέγαν βασιλέα. Δι' αὐτὸ οὗτος ἀποφασίζει ν' ἀφήσῃ τοὺς Σώχους καὶ διὰ τῶν πυλῶν τοῦ 'Αμανικοῦ ὄρους νὰ προχωρήσῃ εἰς τὴν 'Ισσόν ].*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## Ἡ μεγάλη μάχη τῆς Ἰσσοῦ (333 π.Χ.). Ἀλέξανδρος καὶ Δαρεῖος ἀντιμέτωποι.

## (Κεφ. 7 - 12)

### α') Ἡ προετοιμασία διὰ τὴν μάχην.

### (Κεφ. 7 - 9)

VII. Ὑπερβαλὼν δὴ τὸ ὄρος Δαρεῖος τὸ κατὰ τὰς πύλας τὰς Ἀμανικὰς καλουμένας ὡς ἐπὶ Ἰσσὸν προῆγε· καὶ ἐγένετο κατόπιν Ἀλεξάνδρου λαθών. Τὴν δ' Ἰσσὸν κατασχών, ὅσους διὰ νόσον ὑπολελειμμένους αὐτοῦ τῶν Μακεδόνων κατέλαβε, τούτους χαλεπῶς αἰκισάμενος ἀπέκτεινεν· ἐς δὲ τὴν
2 ὑστεραίαν προὐχώρει ἐπὶ τὸν ποταμὸν τὸν Πίναρον. Καὶ Ἀλέξανδρος, ὡς ἤκουσεν ἐν τῷ ὄπισθεν αὐτοῦ ὄντα Δαρεῖον, ἐπεὶ οὐ πιστὸς αὐτῷ ὁ λόγος ἐφαίνετο, ἀναβιβάσας ἐς τριακόντορον τῶν ἑταίρων τινὰς ἀποπέμπει ὀπίσω ἐπὶ Ἰσσόν, κατασκεψομένους, εἰ τὰ ὄντα ἐξαγγέλλεται. Οἱ δ' ἀναπλεύσαντες τῇ τριακοντόρῳ ὅτι κολπώδης ἦν ἡ ταύτῃ θάλασσα, μᾶλλόν τι εὐπετῶς κατέμαθον αὐτοῦ στρατοπεδεύοντας τοὺς Πέρσας· καὶ ἀπαγγέλλουσιν Ἀλεξάνδρῳ ἐν χερσὶν εἶναι Δαρεῖον.

3 Ὁ δὲ συγκαλέσας στρατηγούς τε καὶ ἰλάρχας καὶ τῶν ξυμμάχων τοὺς ἡγεμόνας παρεκάλει θαρρεῖν μὲν ἐκ τῶν ἤδη σφίσι καλῶς κεκινδυνευμένων καὶ ὅτι πρὸς νενικημένους ὁ ἀγὼν νενικηκόσιν αὐτοῖς ἔσται καὶ ὅτι ὁ θεὸς ὑπὲρ σφῶν στρατηγεῖ ἄμεινον, ἐπὶ νοῦν Δαρείῳ ἀγαγὼν καθεῖρξαι τὴν δύναμιν ἐκ τῆς εὐρυχωρίας ἐς τὰ στενόπορα, ἵνα σφίσι μὲν ξύμμετρον τὸ χωρίον ἀναπτύξαι τὴν φάλαγγα, τοῖς δ' ἀχρεῖον τὸ πλῆθος ἔσται τῇ μάχῃ, οὔτε τὰ σώματα οὔτε τὰς γνώ-
4 μας παραπλησίοις. Μακεδόνας τε γὰρ Πέρσαις καὶ Μήδοις, ἐκ πάνυ πολλοῦ τρυφῶσιν, αὐτοὺς ἐν τοῖς πόνοις τοῖς πολεμικοῖς πάλαι ἤδη μετὰ κινδύνων ἀσκουμένους, ἄλλως τε καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δούλοις ἀνθρώποις ἐλευθέρους, ἐς χεῖρας ἥξειν· ὅσοι τε Ἕλ-
ληνες Ἕλλησιν, οὐχ ὑπὲρ τῶν αὐτῶν μαχεῖσθαι, ἀλλὰ τοὺς
μὲν ξὺν Δαρείῳ ἐπὶ μισθῷ καὶ οὐδὲ τούτῳ πολλῷ κινδυνεύ-
οντας, τοὺς δὲ ξὺν σφίσιν ὑπὲρ τῆς Ἑλλάδος ἑκόντας ἀμυ-
νομένους· βαρβάρων τ' αὖ Θρᾷκας καὶ Παίονας καὶ Ἰλλυ- 5
ριοὺς καὶ Ἀγριᾶνας τοὺς εὐρωστοτάτους τε τῶν κατὰ τὴν
Εὐρώπην καὶ μαχιμωτάτους πρὸς τὰ ἀπονώτατά τε καὶ μα-
λακώτατα τῆς Ἀσίας γένη ἀντιτάξεσθαι· ἐπὶ δὲ Ἀλέξαν-
δρον ἀντιστρατηγεῖν Δαρείῳ.

Ταῦτα μὲν οὖν ἐς πλεονεξίαν τοῦ ἀγῶνος ἐπεξῄει, τὰ δ' 6
ἆθλα, ὅτι μεγάλα ἔσται σφίσι τοῦ κινδύνου, ἐπεδείκνυεν. Οὐ γὰρ
τοὺς σατράπας τοῦ Δαρείου ἐν τῷ τότε κρατήσειν, οὐδὲ
τὴν ἵππον τὴν ἐπὶ Γρανικῷ ταχθεῖσαν, οὐδὲ τοὺς δισμυρίους
ξένους τοὺς μισθοφόρους, ἀλλὰ Περσῶν τε ὅ τι περ ὄφελος
καὶ Μήδων καὶ ὅσα ἄλλα ἔθνη Πέρσαις καὶ Μήδοις ὑπήκοα
ἐποικεῖ τὴν Ἀσίαν, καὶ αὐτὸν μέγαν βασιλέα παρόντα, καὶ
ὡς οὐδὲν ὑπολειφθήσεταί σφισιν ἐπὶ τῷδε τῷ ἀγῶνι ὅτι μὴ
κρατεῖν τῆς Ἀσίας ξυμπάσης καὶ πέρας τοῖς πολλοῖς πόνοις
ἐπιθεῖναι. Ἐπὶ τούτοις δὲ τῶν τ' ἐς τὸ κοινὸν ξὺν λαμπρό- 7
τητι ἤδη πεπραγμένων ὑπεμίμνησκε καὶ εἰ δή τῳ ἰδίᾳ τι
διαπρεπὲς ἐς κάλλος τετολμημένον, ὀνομαστὶ ἕκαστον ἐπὶ τῷ
ἔργῳ ἀνακαλῶν. Καὶ τὸ αὑτοῦ οὐκ ἀκίνδυνον ἐν ταῖς μά-
χαις ὡς ἀνεπαχθέστατα ἐπεξῄει.

Λέγεται δὲ καὶ Ξενοφῶντος καὶ τῶν ἅμα Ξενοφῶντι μυ- 8
ρίων ἐς μνήμην ἐλθεῖν, ὡς οὐδέν τι οὔτε κατὰ πλῆθος οὔτε
κατὰ τὴν ἄλλην ἀξίωσιν σφίσιν ἐπεοικότες, οὐδε ἱππέων αὐ-
τοῖς παρόντων Θεσσαλῶν, οὐδὲ Βοιωτῶν ἢ Πελοποννη-
σίων, οὐδὲ Μακεδόνων ἢ Θρᾳκῶν, οὐδὲ ὅση ἄλλη σφίσιν ἵπ-
πος ξυντέτακται, οὐδὲ τοξοτῶν ἢ σφενδονητῶν, ὅτι μὴ Κρη-
τῶν ἢ Ῥοδίων ὀλίγων, καὶ τούτων ἐν τῷ κινδύνῳ ὑπὸ Ξε-
νοφῶντος αὐτοσχεδιασθέντων, οἱ δὲ βασιλέα τε ξὺν πάσῃ τῇ 9

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δυνάμει πρὸς Βαβυλῶνι αὐτῇ ἐτρέψαντο καὶ ἔθνη, ὅσα κατιόντων ἐς τὸν Εὔξεινον πόντον καθ' ὁδόν σφισιν ἐπεγένετο, νικῶντες ἐπῆλθον· ὅσα τ' ἄλλα ἐν τῷ τοιῷδε πρὸ τῶν κινδύνων ἐς παράκλησιν ἀνδράσιν ἀγαθοῖς ἐξ ἀγαθοῦ ἡγεμόνος παραινεῖσθαι εἰκός. Οἱ δ' ἄλλος ἄλλοθεν δεξιούμενοί τε τὸν βασιλέα καὶ τῷ λόγῳ ἐπαίροντες ἄγειν ἤδη ἐκέλευον.

VIII. Ὁ δὲ τότε μὲν δειπνοποιεῖσθαι παραγγέλλει· προ-
πέμπει δὲ ὡς ἐπὶ τὰς πύλας τῶν τε ἱππέων ὀλίγους καὶ τῶν
τοξοτῶν προκατασκεψομένους τὴν ὁδὸν τὴν ἐπὶ τὰς πύλας·
καὶ αὐτὸς τῆς νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν ᾔει, ὡς
2 κατασχεῖν αὖθις τὰς πύλας. Ὡς δ' ἀμφὶ μέσας νύκτας ἐκρά-
τησεν αὖθις τῶν παρόδων, ἀνέπαυε τὴν στρατιὰν τὸ λοιπὸν
τῆς νυκτὸς αὐτοῦ ἐπὶ τῶν πετρῶν, προφυλακὰς ἀκριβεῖς κα-
ταστησάμενος. Ὑπὸ δὲ τὴν ἕω κατῄει ἀπὸ τῶν πυλῶν κατὰ
τὴν ὁδόν· καὶ ἕως μὲν πάντῃ στενόπορα ἦν τὰ χωρία, ἐπὶ
κέρως ἦγεν, ὡς δὲ διεχώρει ἐς πλάτος, ἀνέπτυσσεν ἀεὶ τὸ κέ-
ρας ἐς φάλαγγα, ἄλλην καὶ ἄλλην τῶν ὁπλιτῶν τάξιν παρά-
γων, τῇ μὲν ὡς ἐπὶ τὸ ὄρος, ἐν ἀριστερᾷ δὲ ὡς ἐπὶ τὴν θά-
3 λασσαν. Αἱ δὲ ἱππεῖς αὐτῷ τέως μὲν κατόπιν τῶν πεζῶν τε-
ταγμένοι ἦσαν· ὡς δ' ἐς τὴν εὐρυχωρίαν προῄεσαν, ξυνέτασ-
σεν ἤδη τὴν στρατιὰν ὡς ἐς μάχην, πρώτους μὲν ἐπὶ τοῦ
δεξιοῦ κέρως πρὸς τῷ ὄρει τῶν πεζῶν τό τ' ἄγημα καὶ τοὺς
ὑπασπιστάς, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος, ἐχομένην
δὲ τούτων τὴν Κοίνου τάξιν, ἐπὶ δὲ τούτοις τὴν Περδίκκου.
Οὗτοι μὲν ἔστε ἐπὶ τὸ μέσον τῶν ὁπλιτῶν ἀπὸ τοῦ δεξιοῦ
4 ἀρξαμένῳ τεταγμένοι ἦσαν. Ἐπὶ δὲ τοῦ εὐωνύμου πρώτη
μὲν ἡ Ἀμύντου τάξις ἦν, ἐπὶ δὲ ἡ Πτολεμαίου, ἐχομένη δὲ
ταύτης ἡ Μελεάγρου. Τοῦ δ' εὐωνύμου τοῖς πεζοῖς μὲν Κρά-
τερος ἐπετέτακτο ἄρχειν, τοῦ δὲ ξύμπαντος εὐωνύμου Παρ-
μενίων ἡγεῖτο· καὶ παρήγγελτο αὐτῷ μὴ ἀπολείπειν τὴν θά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λασσαν, ὡς μὴ κυκλωθεῖεν ἐκ τῶν βαρβάρων, ὅτι πάντη ὑπερφαλαγγήσειν αὐτῶν διὰ πλῆθος ἤμελλον.

Δαρεῖος δέ, ἐπειδὴ ἐξηγγέλθη αὐτῷ προσάγων ἤδη Ἀλέ- 5
ξανδρος ὡς ἐς μάχην, τῶν μὲν ἱππέων διαβιβάζει πέραν τοῦ ποταμοῦ τοῦ Πινάρου ἐς τρισμυρίους μάλιστα τὸν ἀριθμὸν καὶ μετὰ τούτων τῶν ψιλῶν ἐς δισμυρίους, ὅπως τὴν λοιπὴν δύναμιν καθ' ἡσυχίαν συντάξειε. Καὶ πρώτους μὲν τοῦ ὁπλι- 6
τικοῦ τοὺς Ἕλληνας τοὺς μισθοφόρους ἔταξεν ἐς τρισμυρίους κατὰ τὴν φάλαγγα τῶν Μακεδόνων· ἐπὶ δὲ τούτοις τῶν Καρδάκων καλουμένων ἔνθεν καὶ ἔνθεν ἐς ἑξακισμυρίους· ὁπλῖται δ' ἦσαν καὶ οὗτοι. Τοσούτους γὰρ ἐπὶ φάλαγγος ἁπλῆς ἐδέχετο τὸ χωρίον, ἵνα ἐτάσσοντο. Ἐπέταξε δὲ 7
καὶ τῷ ὄρει τῷ ἐν ἀριστερᾷ σφῶν κατὰ τὸ Ἀλεξάνδρου δεξιὸν ἐς δισμυρίους· καὶ τούτων ἔστιν οἳ κατὰ νώτου ἐγένοντο τῆς Ἀλεξάνδρου στρατιᾶς. Τὸ γὰρ ὄρος, ἵνα ἐπετάχθησαν, πῇ μὲν διεχώρει ἐς βάθος καὶ κολπῶδές τι αὐτοῦ ὥσπερ ἐν θαλάσσῃ ἐγίγνετο, ἔπειτα ἐς ἐπικαμπὴν προϊὸν τοὺς ἐπὶ ταῖς ὑπωρείαις τεταγμένους κατόπιν τοῦ δεξιοῦ κέρως τοῦ Ἀλεξάνδρου ἐποίει. Τὸ δ' ἄλλο πλῆθος αὐτοῦ ψιλῶν τε καὶ 8
ὁπλιτῶν, κατὰ ἔθνη συντεταγμένον ἐς βάθος οὐκ ὠφέλιμον, ὄπισθεν ἦν τῶν Ἑλλήνων τῶν μισθοφόρων καὶ τοῦ ἐπὶ φάλαγγος τεταγμένου βαρβαρικοῦ. Ἐλέγετο γὰρ ἡ πᾶσα ξὺν Δαρείῳ στρατιὰ μάλιστα ἐς ἑξήκοντα μυριάδας μαχίμους εἶναι.

Ἀλέξανδρος δέ, ὡς αὐτῷ πρόσω ἰόντι τὸ χωρίον διεῖχεν 9
ὀλίγον ἐς πλάτος, παρήγαγε τοὺς ἱππέας, τούς τε ἑταίρους καλουμένους καὶ τοὺς Θεσσαλοὺς καὶ τοὺς Μακεδόνας. Καὶ τούτους μὲν ἐπὶ τῷ δεξιῷ κέρᾳ ἅμα οἷ ἔταξε, τοὺς δ' ἐκ Πελοποννήσου καὶ τὸ ἄλλο τὸ ξυμμαχικὸν ἐπὶ τὸ εὐώνυμον πέμπει ὡς Παρμενίωνα.

Δαρεῖος δέ, ὡς συντεταγμένη ἤδη ἦν αὐτῷ ἡ φάλαγξ, 10
τοὺς ἱππέας, οὕστινας πρὸ τοῦ ποταμοῦ ἐπὶ τῷδε προτετά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χει, ὅπως ἀσφαλῶς αὐτῷ ἡ ἔκταξις τῆς στρατιᾶς γένοιτο,
ἀνεκάλεσεν ἀπὸ ξυνθήματος. Καὶ τούτων τοὺς μὲν πολλοὺς
ἐπὶ τῷ δεξιῷ κέρατι πρὸς τῇ θαλάσσῃ κατὰ Παρμενίωνα
ἔταξεν, ὅτι ταύτῃ μᾶλλόν τι ἱππάσιμα ἦν, μέρος δέ τι αὐτῶν
11 καὶ ἐπὶ τὸ εὐώνυμον πρὸς τὰ ὄρη παρήγαγεν. Ὡς δ' ἀχρεῖοι
ἐνταῦθα διὰ στενότητα τῶν χωρίων ἐφαίνοντο, καὶ τούτων
τοὺς πολλοὺς παριππεῦσαι ἐπὶ τὸ δεξιὸν κέρας σφῶν ἐκέλευ-
σεν. Αὐτὸς δὲ Δαρεῖος τὸ μέσον τῆς πάσης τάξεως ἐπεῖχε,
καθάπερ νόμος τοῖς Περσῶν βασιλεῦσι τετάχθαι· καὶ τὸν
νοῦν τῆς τάξεως ταύτης Ξενοφῶν ὁ τοῦ Γρύλλου ἀναγέ-
γραφεν.

IX. Ἐν τοσούτῳ δ' Ἀλέξανδρος κατιδὼν ὀλίγου πᾶσαν
τὴν τῶν Περσῶν ἵππον μετακεχωρηκυῖαν ἐπὶ τὸ εὐώνυμον
τοῦ ἑαυτοῦ ὡς πρὸς τὴν θάλασσαν, αὐτῷ δὲ τοὺς Πελοπον-
νησίους μόνους καὶ τοὺς ἄλλους τῶν ξυμμάχων ἱππέας ταύ-
τῃ τεταγμένους, πέμπει κατὰ τάχος τοὺς Θεσσαλοὺς ἱππέας
ἐπὶ τὸ εὐώνυμον, κελεύσας μὴ πρὸ τοῦ μετώπου τῆς πάσης
τάξεως παριππεῦσαι, τοῦ μὴ καταφανεῖς τοῖς πολεμίοις γε-
νέσθαι μεταχωροῦντας, ἀλλὰ κατόπιν τῆς φάλαγγος ἀφανῶς
2 διελθεῖν. Προέταξε δὲ τῶν μὲν ἱππέων κατὰ τὸ δεξιὸν τοὺς
προδρόμους, ὧν ἡγεῖτο Πρωτόμαχος, καὶ τοὺς Παίονας, ὧν
ἡγεῖτο Ἀρίστων· τῶν δὲ πεζῶν τοὺς τοξότας, ὧν ἦρχεν
Ἀντίοχος· τοὺς δ' Ἀγριᾶνας, ὧν ἦρχεν Ἄτταλος, καὶ τῶν
ἱππέων τινὰς καὶ τῶν τοξοτῶν ἐς ἐπικαμπὴν πρὸς τὸ ὄρος
τὸ κατὰ νώτου ἔταξεν, ὥστε κατὰ τὸ δεξιὸν αὐτῷ τὴν φά-
λαγγα ἐς δύο κέρατα διέχουσαν τετάχθαι, τὸ μὲν ὡς πρὸς
Δαρεῖόν τε καὶ τοὺς πέραν τοῦ ποταμοῦ τοὺς πάντας Πέρ-
σας, τὸ δὲ ὡς πρὸς τοὺς ἐπὶ τῷ ὄρει κατὰ νώτου σφῶν τε-
ταγμένους. Τοῦ δὲ εὐωνύμου προετάχθησαν τῶν μὲν πεζῶν
οἵ τε Κρῆτες τοξόται καὶ οἱ Θρᾷκες, ὧν ἡγεῖτο Σιτάλκης,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πρὸ τούτων δὲ ἡ ἵππος ἡ κατὰ τὸ εὐώνυμον. Οἱ δὲ μισθοφόροι ξένοι πᾶσιν ἐπετάχθησαν.

Ἐπεὶ δ' οὔτε πυκνὴ αὐτῷ ἡ φάλαγξ κατὰ τὸ δεξιὸν τὸ 3
ἑαυτοῦ ἐφαίνετο, πολύ τε ταύτῃ ὑπερφαλαγγήσειν οἱ Πέρσαι ἐδόκουν, ἐκ τοῦ μέσου ἐκέλευσε δύο ἴλας τῶν ἑταίρων, τήν τε Ἀνθεμουσίαν, ἧς ἰλάρχης ἦν Περοίδας ὁ Μενεσθέως, καὶ τὴν Λευγαίαν καλουμένην, ἧς ἡγεῖτο Παντόρδανος ὁ Κλεάνδρου, ἐπὶ τὸ δεξιὸν ἀφανῶς παρελθεῖν. Καὶ τοὺς το- 4
ξότας δὲ καὶ μέρος τῶν Ἀγριάνων καὶ τῶν Ἑλλήνων μισθοφόρων ἔστιν οὓς κατὰ τὸ δεξιὸν τὸ αὑτοῦ ἐπὶ μετώπου παραγαγὼν ἐξέτεινεν ὑπὲρ τὸ τῶν Περσῶν κέρας τὴν φάλαγγα. Ἐπεὶ γὰρ οἱ ὑπὲρ τοῦ ὄρους τεταγμένοι οὔτε κατήεσαν, ἐκδρομῆς τ' ἐπ' αὐτοὺς τῶν Ἀγριάνων καὶ τῶν τοξοτῶν ὀλίγων κατὰ πρόσταξιν Ἀλεξάνδρου γενομένης ῥᾳδίως ἀπὸ τῆς ὑπωρείας ἀνασταλέντες ἐς τὸ ἄκρον ἀνέφυγον, ἔγνω καὶ τοῖς κατ' αὐτοὺς τεταγμένοις δυνατὸν ὂν χρήσασθαι ἐς ἀναπλήρωσιν τῆς φάλαγγος· ἐκείνοις δὲ ἱππέας τριακοσίους ἐπιτάξαι ἐξήρκεσεν.

**β) Ἡ διεξαγωγὴ τῆς μάχης.**
**Ἧττα καὶ ἐπαίσχυντος φυγὴ τοῦ Δαρείου.**
**(Κεφ. 10 - 11)**

X. Οὕτω δὴ τεταγμένους χρόνον μέν τινα προῆγεν ἀναπαύων, ὥστε καὶ πάνυ ἔδοξε σχολαία γενέσθαι αὐτῷ ἡ πρόσοδος· τοὺς γὰρ βαρβάρους, ὅπως τὰ πρῶτα ἐτάχθησαν, οὐκέτι ἀντεπῆγε Δαρεῖος, ἀλλ' ἐπὶ τοῦ ποταμοῦ ταῖς ὄχθαις πολλαχῇ μὲν ἀποκρήμνοις οὔσαις, ἔστι δὲ ὅπου καὶ χάρακα παρατείνας αὐταῖς, ἵνα εὐεφοδώτερα ἐφαίνετο, οὕτως ἔμενε· καὶ ταύτῃ εὐθὺς δῆλος ἐγένετο τοῖς ἀμφ' Ἀλέξανδρον τῇ γνώμῃ δεδουλωμένος. Ὡς δὲ ὁμοῦ ἤδη ἦν τὰ στρατόπεδα, 2
ἐνταῦθα παριππεύων πάντῃ Ἀλέξανδρος παρεκάλει ἄνδρας

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγαθοὺς γίγνεσθαι, οὐ τῶν ἡγεμόνων μόνον τὰ ὀνόματα ξὺν
τῷ πρέποντι κόσμῳ ἀνακαλῶν, ἀλλὰ καὶ ἰλάρχας καὶ λοχα-
γοὺς ὀνομαστὶ καὶ τῶν ξένων τῶν μισθοφόρων, ὅσοι κατ'
ἀξίωσιν ἤ τινα ἀρετὴν γνωριμώτεροι ἦσαν· καὶ αὐτῷ παν-
ταχόθεν βοὴ ἐγίγνετο μὴ διατρίβειν, ἀλλ' ἐσβάλειν ἐς τοὺς
πολεμίους.

3 Ὁ δὲ ἦγεν ἐν τάξει ἔτι, τὰ μὲν πρῶτα, καίπερ ἐν ἀπό-
πτῳ ἤδη ἔχων τὴν Δαρείου δύναμιν, βάδην, τοῦ μὴ διασπα-
σθῆναί τι ἐν τῇ ξυντονωτέρα πορείᾳ κυμῆναν τῆς φάλαγ-
γος· ὡς δ' ἐντὸς βέλους ἐγίγνοντο, πρῶτοι δὴ οἱ κατὰ Ἀλέ-
ξανδρον καὶ αὐτὸς Ἀλέξανδρος ἐπὶ τοῦ δεξιοῦ τεταγμένος
δρόμῳ ἐς τὸν ποταμὸν ἐνέβαλον, ὡς τῇ τε ὀξύτητι τῆς ἐφό-
δου ἐκπλῆξαι τοὺς Πέρσας καὶ τοῦ θᾶσσον ἐς χεῖρας ἐλθόν-
τας ὀλίγα πρὸς τῶν τοξοτῶν βλάπτεσθαι.

4 Καὶ ξυνέβη, ὅπως εἴκασεν Ἀλέξανδρος. Εὐθὺς γὰρ ὡς
ἐν χερσὶν ἡ μάχη ἐγένετο, τρέπονται τοῦ Περσικοῦ στρατεύμα-
τος οἱ τῷ ἀριστερῷ κέρᾳ ἐπιτεταγμένοι· καὶ ταύτῃ μὲν λαμ-
πρῶς ἐνίκα Ἀλέξανδρός τε καὶ οἱ ἀμφ' αὐτόν. Οἱ δὲ Ἕλλη-
νες οἱ μισθοφόροι οἱ ξὺν Δαρείῳ, ᾗ διέσχε τῶν Μακεδόνων
5 ἡ φάλαγξ ὡς ἐπὶ τὸ δεξιὸν κέρας παραρραγεῖσα, ὅτι Ἀλέ-
ξανδρος μὲν σπουδῇ ἐς τὸν ποταμὸν ἐμβαλὼν καὶ ἐν χερσὶ
τὴν μάχην ποιήσας ἐξώθει ἤδη τοὺς ταύτῃ τεταγμένους τῶν
Περσῶν, οἱ δὲ κατὰ μέσον τῶν Μακεδόνων οὔτε τῇ ἴσῃ
σπουδῇ ἥψαντο τοῦ ἔργου καὶ πολλαχῇ κρημνώδεσι ταῖς
ὄχθαις ἐντυχάνοντες τὸ μέτωπον τῆς φάλαγγος οὐ δυνατοὶ
ἐγένοντο ἐν τῇ αὐτῇ τάξει διασώσασθαι — ταύτῃ ἐμβάλλου-
σιν οἱ Ἕλληνες τοῖς Μακεδόσιν, ᾗ μάλιστα διεσπασμένην
αὐτοῖς τὴν φάλαγγα κατεῖδον.

6 Καὶ τὸ ἔργον ἐνταῦθα καρτερὸν ἦν, τῶν μὲν ἐς τὸν πο-
ταμὸν ἀπώσασθαι τοὺς Μακεδόνας καὶ τὴν νίκην τοῖς ἤδη
φεύγουσι σφῶν ἀνασώσασθαι, τῶν Μακεδόνων δὲ τῆς τ'

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

'Αλεξάνδρου ἤδη φαινομένης εὐπραγίας μὴ λειφθῆναι καὶ τὴν δόξαν τῆς φάλαγγος, ὡς ἀμάχου δὴ ἐς τὸ τότε διαβεβοημένης, μὴ ἀφανίσαι. Καί τι καὶ τοῖς γένεσι τῷ τε 'Ελ- 7
ληνικῷ καὶ τῷ Μακεδονικῷ φιλοτιμίας ἐνέπεσεν ἐς ἀλλήλους. Καὶ ἐνταῦθα πίπτει Πτολεμαῖός τε ὁ Σελεύκου, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ἄλλοι ἐς εἴκοσι μάλιστα καὶ ἑκατὸν τῶν οὐκ ἠμελημένων Μακεδόνων.

XI. 'Εν τούτῳ δὲ αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τάξεις τετραμμένους ἤδη τοὺς κατὰ σφᾶς τῶν Περσῶν ὁρῶντες, ἐπὶ τοὺς ξένους τε τοὺς μισθοφόρους τοὺς Δαρείου καὶ τὸ πονούμενον σφῶν ἐπικάμψαντες ἀπό τε τοῦ ποταμοῦ ἀπεώσαντο αὐτούς, καὶ κατὰ τὸ παρερρωγὸς τοῦ Περσικοῦ στρατεύματος ὑπερφαλαγγήσαντες ἐς τὰ πλάγια ἐμβεβληκότες ἤδη ἔκοπτον τοὺς ξένους.

Καὶ οἱ ἱππεῖς δὲ οἱ τῶν Περσῶν κατὰ τοὺς Θεσσαλοὺς 2
τεταγμένοι οὐκ ἔμειναν ἐντὸς τοῦ ποταμοῦ ἐν αὐτῷ τῷ ἔργῳ, ἀλλ' ἐπιδιαβάντες εὐρώστως ἐνέβαλον ἐς τὰς ἴλας τῶν Θεσσαλῶν. Καὶ ταύτῃ ξυνέστη ἱππομαχίᾳ καρτερά· οὐδὲ πρόσθεν ἐνέκλιναν οἱ Πέρσαι, πρὶν Δαρεῖόν τε πεφευγότα ᾔσθοντο καὶ πρὶν ἀπορραγῆναι σφῶν τοὺς μισθοφόρους ξυγκοπέντας ὑπὸ τῆς φάλαγγος. Τότε δ' ἤδη λαμπρά τε καὶ ἐκ 3
πάντων ἡ φυγὴ ἐγίγνετο· καὶ οἵ τε τῶν Περσῶν ἵπποι ἐν τῇ ἀναχωρήσει ἐκακοπάθουν βαρέως ὡπλισμένους τοὺς ἀμβάτας σφῶν φέροντες, καὶ αὐτοὶ οἱ ἱππεῖς κατὰ στενὰς ὁδοὺς πλήθει τε πολλοὶ καὶ πεφοβημένως ξὺν ἀταξίᾳ ἀποχωροῦντες οὐ μεῖον ὑπ' ἀλλήλων καταπατούμενοι ἢ πρὸς τῶν διωκόντων πολεμίων ἐβλάπτοντο. Καὶ οἱ Θεσσαλοὶ εὐρώστως αὐτοῖς ἐπέκειντο, ὥστε οὐ μείων ἢ τῶν πεζῶν φόνος ἐν τῇ φυγῇ τῶν ἱππέων ἐγίγνετο.

Δαρεῖος δέ, ὡς αὐτῷ τὸ πρῶτον ὑπ' 'Αλεξάνδρου ἐφοβήθη τὸ κέρας τὸ εὐώνυμον καὶ ταύτῃ ἀπορρηγνύμενον κατεῖ- 4

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δε τοῦ ἄλλου στρατοπέδου, εὐθύς, ὡς εἶχεν, ἐπὶ τοῦ ἅρματος
5 ξὺν τοῖς πρώτοις ἔφευγε. Καὶ ἔστε μὲν ὁμαλοῖς χωρίοις ἐν τῇ
φυγῇ ἐνετύγχανεν, ἐπὶ τοῦ ἅρματος διεσῴζετο· ὡς δὲ φά-
ραγξί τε καὶ ἄλλαις δυσχωρίαις ἐνέκυρσε, τὸ μὲν ἅρμα ἀπο-
λείπει αὐτοῦ καὶ τὴν ἀσπίδα καὶ τὸν κάνδυν ἐκδύς· ὁ δὲ καὶ
τὸ τόξον ἀπολείπει ἐπὶ τοῦ ἅρματος· αὐτὸς δὲ ἵππου ἐπιβὰς
ἔφευγε.

6 Καὶ ἡ νὺξ οὐ διὰ μακροῦ ἐπιγενομένη ἀφείλετο αὐτὸν
τὸ πρὸς Ἀλεξάνδρου ἁλῶναι. Ἀλέξανδρος γάρ, ἔστε μὲν
φάος ἦν, ἀνὰ κράτος ἐδίωκεν· ὡς δὲ ξυνεσκόταζέ τ' ἤδη καὶ
τὰ πρὸ ποδῶν ἀφανῆ ἦν, ἐς τὸ ἔμπαλιν ἀπετρέπετο ὡς ἐπὶ
7 τὸ στρατόπεδον· τὸ μέντοι ἅρμα τοῦ Δαρείου ἔλαβε καὶ τὴν
ἀσπίδα ἐπ' αὐτῷ καὶ τὸν κάνδυν καὶ τὸ τόξον. Καὶ γὰρ καὶ
ἡ δίωξις βραδυτέρα αὐτῷ ἐγεγόνει, ὅτι ἐν τῇ πρώτῃ παραρ-
ρήξει τῆς φάλαγγος ἐπιστρέψας καὶ αὐτὸς οὐ πρόσθεν ἐς τὸ
διώκειν ἐτράπετο, πρὶν τούς τε μισθοφόρους τοὺς ξένους
καὶ τὸ τῶν Περσῶν ἱππικὸν ἀπὸ τοῦ ποταμοῦ ἀπωσθέντας
κατεῖδε.

8 Τῶν δὲ Περσῶν ἀπέθανον Ἀρσάμης μὲν καὶ Ῥεομίθρης
καὶ Ἀτιζύης τῶν ἐπὶ Γρανικῷ ἡγησαμένων τοῦ ἱππικοῦ·
ἀποθνήσκει δὲ καὶ Σαβάκης, ὁ Αἰγύπτου σατράπης, καὶ
Βουβάκης τῶν ἐντίμων Περσῶν· τὸ δ' ἄλλο πλῆθος ἐς δέκα
μάλιστα μυριάδας καὶ ἐν τούτοις ἱππεῖς ὑπὲρ τοὺς μυρίους,
ὥστε λέγει Πτολεμαῖος ὁ Λάγου, ξυνεπισπόμενος τότε Ἀλε-
ξάνδρῳ, τοὺς μετὰ σφῶν διώκοντας Δαρεῖον, ὡς ἐπὶ φάραγ-
γί τινι ἐν τῇ διώξει ἐγένοντο, ἐπὶ τῶν νεκρῶν διαβῆναι τὴν
9 φάραγγα. Τό τε στρατόπεδον τοῦ Δαρείου εὐθὺς ἐξ ἐφόδου
ἑάλω καὶ ἡ μήτηρ καὶ ἡ γυνὴ καὶ υἱὸς Δαρείου νήπιος· καὶ
θυγατέρες δύο ἑάλωσαν καὶ ἄλλαι ἀμφ' αὐτὰς Περσῶν τῶν
ὁμοτίμων γυναῖκες οὐ πολλαί. Οἱ γὰρ ἄλλοι Πέρσαι τὰς γυ-
ναῖκας σφῶν ξὺν τῇ ἄλλῃ κατασκευῇ ἐς Δαμασκὸν ἔτυχον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐσταλκότες· ἐπεὶ καὶ Δαρεῖος τῶν τε χρημάτων τὰ πολλὰ
καὶ ὅσα ἄλλα μεγάλῳ βασιλεῖ ἐς πολυτελῆ δίαιταν καὶ στρα- 10
τευομένῳ ὅμως συνέπεται, πεπόμφει ἐς Δαμασκόν, ὥστε ἐν
τῷ στρατεύματι οὐ πλείονα ἢ τρισχίλια τάλαντα ἑάλω. Ἀλ-
λὰ καὶ τὰ ἐν Δαμασκῷ χρήματα ὀλίγον ὕστερον ἑάλω ὑπὸ
Παρμενίωνος ἐπ' αὐτὸ τοῦτο σταλέντος. Τοῦτο τὸ τέλος τῇ
μάχῃ ἐκείνῃ ἐγένετο ἐπὶ ἄρχοντος Ἀθηναίοις Νικοκράτους
μηνὸς Μαιμακτηριῶνος.

**γ') Τὰ μετὰ τὴν μάχην. Μεγαλοψυχία τοῦ Ἀλεξάνδρου.**
**(Κεφ. 12)**

XII. Τῇ δὲ ὑστεραίᾳ, καίπερ τετρωμένος τὸν μηρὸν
Ἀλέξανδρος, ὁ δὲ τοὺς τραυματίας ἐπῆλθε, καὶ τοὺς νεκροὺς
ξυναγαγὼν ἔθαψε μεγαλοπρεπῶς ξὺν τῇ δυνάμει πάσῃ ἐκτε-
ταγμένῃ λαμπρότατα ὡς ἐς πόλεμον καὶ λόγῳ τ' ἐπεκόσμη-
σεν ὅσοις τι διαπρεπὲς ἔργον ἐν τῇ μάχῃ ἢ αὐτὸς ξυνέγνω
εἰργασμένον ἢ ἀκοῇ ξυμφωνούμενον ἔμαθε, καὶ χρημάτων
ἐπιδόσει ὡς ἑκάστους ξὺν τῇ ἀξίᾳ ἐτίμησε. Καὶ Κιλικίας μὲν 2
ἀποδεικνύει σατράπην Βάλακρον τὸν Νικάνορος, ἕνα τῶν
σωματοφυλάκων τῶν βασιλικῶν, ἀντὶ δὲ τούτου ἐς τοὺς σω-
ματοφύλακας κατέλεξε Μένητα τὸν Διονυσίου· ἀντὶ δὲ Πτο-
λεμαίου τοῦ Σελεύκου τοῦ ἀποθανόντος ἐν τῇ μάχῃ Πολυ-
σπέρχοντα τὸν Σιμμίου ἄρχειν ἀπέδειξε τῆς ἐκείνου τάξεως.
Καὶ τοῖς Σολεῦσι τά τε πεντήκοντα τάλαντα, ἃ ἔτι ἐνδεᾶ ἦν
ἐκ τῶν ἐπιβληθέντων σφίσι χρημάτων, ἀνῆκε καὶ τοὺς ὁμή-
ρους ἀπέδωκεν.

Ὁ δ' οὐδὲ τῆς μητρὸς τῆς Δαρείου οὐδὲ τῆς γυναικὸς 3
ἢ τῶν παίδων ἠμέλησεν. Ἀλλά, λέγουσί τινες τῶν τὰ Ἀλε-
ξάνδρου γραψάντων, τῆς νυκτὸς αὐτῆς, ᾗ ἀπὸ τῆς διώξεως
τῆς Δαρείου ἐπανῆκεν, ἐς τὴν σκηνὴν παρελθόντα αὐτὸν τὴν
Δαρείου, ἥτις αὐτῷ ἐξῃρημένη ἦν, ἀκοῦσαι γυναικῶν οἰμω-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4 γὴν καὶ ἄλλον τοιοῦτον θόρυβον οὐ πόρρω τῆς σκηνῆς· πυ-
θέσθαι οὖν, αἵτινες γυναῖκες καὶ ἀνθ' ὅτου οὕτως ἐγγὺς πα-
ρασκηνοῦσι· καί τινα ἐξαγγεῖλαι, ὅτι « ὦ βασιλεῦ, ἡ μήτηρ τε
καὶ ἡ γυνὴ Δαρείου καὶ οἱ παῖδες, ὡς ἐξηγγέλθη αὐταῖς, ὅτι
τὸ τόξον τε τοῦ Δαρείου ἔχεις καὶ τὸν κάνδυν τὸν βασιλικόν,
καὶ ἡ ἀσπὶς ὅτι κεκόμισται ὀπίσω ἡ Δαρείου, ὡς ἐπὶ τεθνεῶ-
5 τι Δαρείῳ ἀνοιμώζουσι ». Ταῦτα ἀκούσαντα 'Αλέξανδρον
πέμψαι πρὸς αὐτὰς Λεοννάτον, ἕνα τῶν ἑταίρων, ἐντειλάμε-
νον φράσαι, ὅτι ζῇ Δαρεῖος, τὰ δὲ ὅπλα καὶ τὸν κάνδυν ὅτι
φεύγων ἀπέλιπεν ἐπὶ τῷ ἅρματι καὶ ταῦτα ὅτι μόνα ἔχει 'Αλέ-
ξανδρος. Καὶ Λεοννάτον παρελθόντα ἐς τὴν σκηνὴν τά τε Δα-
ρείου εἰπεῖν καὶ ὅτι τὴν θεραπείαν αὐταῖς ξυγχωρεῖ 'Αλέξαν-
δρος τὴν βασιλικὴν καὶ τὸν ἄλλον κόσμον καὶ καλεῖσθαι βα-
σιλίσσας, ἐπεὶ οὐδὲ κατ' ἔχθραν οἱ γενέσθαι τὸν πόλεμον πρὸς
Δαρεῖον, ἀλλ' ὑπὲρ τῆς ἀρχῆς τῆς 'Ασίας διαπεπολεμῆσθαι
ἐννόμως. Ταῦτα μὲν Πτολεμαῖος καὶ 'Αριστόβουλος λέγουσι.
6 Λόγος δ' ἔχει καὶ αὐτὸν 'Αλέξανδρον τῇ ὑστεραίᾳ ἐλθεῖν
εἴσω ξὺν 'Ηφαιστίωνι μόνῳ τῶν ἑταίρων· καὶ τὴν μητέρα
τὴν Δαρείου ἀμφιγνοήσασαν, ὅστις ὁ βασιλεὺς εἴη αὐτοῖν,
ἐστάλθαι γὰρ ἄμφω τῷ αὐτῷ κόσμῳ, τὴν δὲ 'Ηφαιστίωνι
προσελθεῖν καὶ προσκυνῆσαι, ὅτι μείζων αὐτῇ ἐφάνη ἐκεῖ-
7 νος. 'Ως δὲ ὁ 'Ηφαιστίων τ' ὀπίσω ὑπεχώρησε καί τις τῶν
ἀμφ' αὐτήν, τὸν 'Αλέξανδρον δείξας, ἐκεῖνον ἔφη εἶναι 'Αλέ-
ξανδρον, τὴν μὲν καταιδεσθεῖσαν τῇ διαμαρτίᾳ ὑποχωρεῖν,
'Αλέξανδρον δ' οὐ φάναι αὐτὴν ἁμαρτεῖν· καὶ γὰρ καὶ ἐκεῖ-
8 νον εἶναι 'Αλέξανδρον. Καὶ ταῦτα ἐγὼ οὔθ' ὡς ἀληθῆ οὔθ'
ὡς πάντη ἄπιστα ἀνέγραψα. 'Αλλ' εἴτε οὕτως ἐπράχθη, ἐπαι-
νῶ 'Αλέξανδρον τῆς τ' ἐς τὰς γυναῖκας κατοικτίσεως καὶ τῆς
ἐς τὸν ἑταῖρον πίστεως καὶ τιμῆς· εἴτε πιθανὸς δοκεῖ τοῖς
ξυγγράψασιν 'Αλέξανδρος ὡς καὶ ταῦτα ἂν πράξας καὶ εἰ-
πών, καὶ ἐπὶ τῷδε ἐπαινῶ 'Αλέξανδρον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*[Μετὰ τὴν τραγικὴν συμφοράν του ὁ Δαρεῖος φεύγει διὰ νυκτὸς μαζὶ μὲ τὴν ὀλιγάριθμον ἀκολουθίαν του. Τὴν ἐπομένην συγκεντρώνων καθ' ὁδὸν τὰ διεσκορπισμένα λείψανα τοῦ στρατοῦ του προχωρεῖ εἰς τὴν Θάψακον καὶ τὸν Εὐφράτην. 'Εξ ἄλλου ὁ 'Αλέξανδρος προελαύνει πρὸς τὴν Φοινίκην καὶ πλησιάζει εἰς τὴν μεγάλην καὶ πλουσίαν πόλιν Μάραθον. Καθ' ὁδὸν ὁ υἱὸς τοῦ ἡγεμόνος τῆς χώρας τὸν ὑποδέχεται μὲ τιμάς. Στεφανώνει μὲ χρυσοῦν στέφανον τὴν κεφαλὴν τοῦ νικητοῦ καὶ παραδίδει εἰς αὐτὸν τὴν πόλιν].*

### 'Επιστολαὶ Δαρείου καὶ 'Αλεξάνδρου.

### (Κεφ. 14)

XIV. "Ετι δ' ἐν Μαράθῳ 'Αλεξάνδρου ὄντος ἀφίκοντο παρὰ Δαρείου πρέσβεις, ἐπιστολήν τε κομίζοντες Δαρείου καὶ αὐτοὶ ἀπὸ γλώσσης δεησόμενοι ἀφεῖναι Δαρείῳ τὴν μητέρα
καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας. 'Εδήλου δὲ ἡ ἐπιστολή, 2
ὅτι Φιλίππῳ τε πρὸς 'Αρταξέρξην φιλία καὶ ξυμμαχία ἐγένετο καί, ἐπειδὴ "Αρσης ὁ υἱὸς 'Αρταξέρξου ἐβασίλευσεν, ὅτι Φίλιππος ἀδικίας πρῶτος ἐς βασιλέα "Αρσην ἦρξεν οὐδὲν ἄχαρι ἐκ Περσῶν παθών. 'Εξ οὗ δὲ αὐτὸς βασιλεύει Περσῶν, οὔτε πέμψαι τινὰ 'Αλέξανδρον παρ' αὐτὸν ἐς βεβαίωσιν τῆς πάλαι οὔσης φιλίας τε καὶ ξυμμαχίας, διαβῆναί τε ξὺν στρατιᾷ ἐς
τὴν 'Ασίαν καὶ πολλὰ κακὰ ἐργάσασθαι Πέρσας. Τούτου 3
ἕνεκα καταβῆναι αὐτὸς τῇ χώρᾳ ἀμυνῶν καὶ τὴν ἀρχὴν τὴν πατρῴαν ἀνασώσων. Τὴν μὲν δὴ μάχην, ὡς θεῶν τῳ ἔδοξεν, οὕτω κριθῆναι, αὐτὸς δὲ βασιλεὺς παρὰ βασιλέως γυναῖκά τε τὴν αὑτοῦ αἰτεῖν καὶ μητέρα καὶ παῖδας τοὺς ἁλόντας, καὶ φιλίαν ἐθέλειν ποιήσασθαι πρὸς 'Αλέξανδρον καὶ ξύμμαχος εἶναι τῷ 'Αλεξάνδρῳ· καὶ ὑπὲρ τούτων πέμπειν ἠξίου 'Αλέξανδρον παρ' αὐτὸν ξὺν Μενίσκῳ τε καὶ 'Αρσίμᾳ, τοῖς ἀγγέλοις τοῖς ἐκ Περσῶν ἥκουσι, τοὺς τὰ πιστὰ ληψομένους τε καὶ ὑπὲρ 'Αλεξάνδρου δώσοντας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4 Πρὸς ταῦτα ἀντιγράφει Ἀλέξανδρος καὶ ξυμπέμπει τοῖς
παρὰ Δαρείου ἐλθοῦσι Θέρσιππον, παραγγείλας τὴν ἐπιστο-
λὴν δοῦναι Δαρείῳ, αὐτὸν δὲ μὴ διαλέγεσθαι ὑπὲρ μηδενός.
Ἡ δὲ ἐπιστολὴ ἡ Ἀλεξάνδρου ἔχει ὧδε· « Οἱ ὑμέτεροι πρό-
γονοι ἐλθόντες ἐς Μακεδονίαν καὶ ἐς τὴν ἄλλην Ἑλλάδα
κακῶς ἐποίησαν ἡμᾶς οὐδὲν προηδικημένοι· ἐγὼ δὲ τῶν Ἑλ-
λήνων ἡγεμὼν κατασταθεὶς καὶ τιμωρήσασθαι βουλόμενος
5 Πέρσας διέβην ἐς τὴν Ἀσίαν ὑπαρξάντων ὑμῶν. Καὶ γὰρ
Περινθίοις ἐβοηθήσατε, οἳ τὸν ἐμὸν πατέρα ἠδίκουν, καὶ ἐς
Θρᾴκην, ἧς ἡμεῖς ἤρχομεν, δύναμιν ἔπεμψεν Ὦχος. Τοῦ δὲ
πατρὸς ἀποθανόντος ὑπὸ τῶν ἐπιβουλευσάντων, οὓς ὑμεῖς
συνετάξατε, ὡς αὐτοὶ ἐν ταῖς ἐπιστολαῖς πρὸς ἅπαντας ἐκομ-
πάσατε, καὶ Ἄρσην ἀποκτείναντός σου μετὰ Βαγώου, καὶ
6 τὴν ἀρχὴν κατασχόντος οὐ δικαίως οὐδὲ κατὰ τὸν Περσῶν
νόμον, ἀλλὰ ἀδικοῦντος Πέρσας, καὶ ὑπὲρ ἐμοῦ πρὸς τοὺς
Ἕλληνας γράμματα οὐκ ἐπιτήδεια διαπέμποντος, ὅπως πρός
με πολεμῶσι, καὶ χρήματα ἀποστέλλοντος πρὸς Λακεδαιμο-
νίους καὶ ἄλλους τινὰς τῶν Ἑλλήνων, καὶ τῶν μὲν ἄλλων
πόλεων οὐδεμιᾶς δεχομένης, Λακεδαιμονίων δὲ λαβόντων,
καὶ τῶν παρὰ σοῦ πεμφθέντων τοὺς ἐμοὺς φίλους διαφθει-
ράντων καὶ τὴν εἰρήνην, ἣν τοῖς Ἕλλησι κατεσκεύασα, δια-
λύειν ἐπιχειρούντων, ἐστράτευσα ἐπὶ σὲ ὑπάρξαντος σοῦ τῆς
ἔχθρας.
7 Ἐπεὶ δὲ μάχῃ νενίκηκα πρότερον μὲν τοὺς σοὺς στρατη-
γοὺς καὶ σατράπας, νῦν δὲ σὲ καὶ τὴν μετὰ σοῦ δύναμιν, καὶ
τὴν χώραν ἔχω τῶν θεῶν μοι δόντων, ὅσοι τῶν μετὰ σοῦ
παραταξαμένων μὴ ἐν τῇ μάχῃ ἀπέθανον, ἀλλὰ παρ' ἐμὲ κα-
8 τέφυγον, τούτων ἐπιμέλομαι καὶ οὐκ ἄκοντες παρ' ἐμοί εἰσιν,
ἀλλὰ αὐτοὶ ἑκόντες ξυστρατεύονται μετ' ἐμοῦ. Ὡς οὖν ἐμοῦ
τῆς Ἀσίας ἁπάσης κυρίου ὄντος ἧκε πρὸς ἐμέ. Εἰ δὲ φοβῇ, μὴ
ἐλθὼν πάθῃς τι ἐξ ἐμοῦ ἄχαρι, πέμπε τινὰς τῶν φίλων τὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πιστὰ ληψομένους. 'Ελθὼν δὲ πρός με τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας καὶ εἰ ἄλλο τι θέλεις αἴτει καὶ λάμβανε. "Ο τι γὰρ ἂν πείθῃς ἐμέ, ἔσται σοι. Καὶ τοῦ λοιποῦ, 9 ὅταν πέμπῃς παρ' ἐμέ, ὡς πρὸς βασιλέα τῆς 'Ασίας πέμπε, μηδὲ ἐξ ἴσου ἐπίστελλε, ἀλλ' ὡς κυρίῳ ὄντι πάντων τῶν σῶν φράζε, εἴ του δέῃ· εἰ δὲ μή, ἐγὼ βουλεύσομαι περὶ σοῦ ὡς ἀδικοῦντος. Εἰ δ' ἀντιλέγεις περὶ τῆς βασιλείας, ὑπομείνας ἔτι ἀγώνισαι περὶ αὐτῆς καὶ μὴ φεῦγε, ὡς ἐγὼ ἐπὶ σὲ πορεύσομαι, οὗ ἂν ᾖς».

*[ 'Ολόκληρος ἡ Φοινίκη ὑποτάσσεται χωρὶς ἀντίστασιν εἰς τὸν προελαύνοντα 'Αλέξανδρον. Μόνον ἡ Τύρος ἀρνεῖται ὑποταγὴν καὶ ζητεῖ ἀπὸ τὸν 'Αλέξανδρον νὰ μὴ τὴν προσβάλῃ, μὲ τὴν ὑπόσχεσιν νὰ τηρήσῃ στάσιν οὐδετέραν ἀπέναντι τῶν δύο ἐμπολέμων. 'Ο 'Αλέξανδρος δέχεται τοῦτο, ὑπὸ τὸν ὅρον νὰ τοῦ ἐπιτραπῇ νὰ εἰσέλθῃ ἐντὸς τῆς πόλεως καὶ νὰ θυσιάσῃ πρὸς τιμὴν τοῦ 'Ηρακλέους εἰς τὸν ὑπάρχοντα ἐκεῖ παλαιότατον ναὸν τοῦ ἀρχαίου ἥρωος. Οἱ Τύριοι ὅμως δὲν θέλουν νὰ ἱκανοποιήσουν τὴν ἐπιθυμίαν αὐτὴν τοῦ 'Αλεξάνδρου, ὁ ὁποῖος ἀγανακτήσας ἀποφασίζει νὰ κυριεύσῃ τὴν πόλιν βιαίως. Εἰς συγκέντρωσιν τῶν στρατηγῶν του ἐξηγεῖ ὅτι ἡ κατάληψις τῆς Τύρου εἶναι ἀπαραίτητος, διότι μὲ τὴν ἀμφίβολον στάσιν ταύτης δὲν θὰ ἦσαν ἀσφαλεῖς εἰς τὴν περαιτέρω πορείαν των, ἐφ' ὅσον μάλιστα οἱ Πέρσαι, κατέχοντες τὴν Κύπρον καὶ τὴν Αἴγυπτον, θὰ ἦσαν θαλασσοκράτορες καὶ θὰ ἠδύναντο νὰ προσλάβουν μὲ τὸ μέρος των τὰς ὑπόπτους ἑλληνικὰς πόλεις καὶ νήσους καὶ νὰ μεταφέρουν τὸν πόλεμον εἰς τὴν 'Ελλάδα. Σκέπτεται ὅτι μὲ τὴν κατάληψιν τῆς Τύρου θὰ διηυκολύνετο ἡ κατάληψις τῆς Κύπρου καὶ τῆς Αἰγύπτου καὶ θὰ ἐξησφαλίζετο ἡ θαλασσοκρατία τῶν Μακεδόνων. Αἱ σκέψεις αὗται ἐπεδοκιμάσθησαν ἀπὸ τοὺς στρατηγούς του καὶ ἤρχισεν ἡ πολιορκία τῆς Τύρου. 'Η πόλις ἦτο ὀχυρὰ καὶ ἡ ἀντίστασις πεισματώδης, διαρκέσασα ἐπὶ ἑπτὰ μῆνας. 'Αλλ' ἡ ἐπιμονὴ τῶν πολιορκητῶν ἐνίκησε. Τὰ τέως ἀκλόνητα ὀχυρὰ τῆς πόλεως καὶ τὰ θεωρούμενα ἀπόρθητα τείχη της ἔπεσαν πρὸ τῆς ὁρμητικῆς καὶ πείσμονος δυνάμεως τοῦ 'Αλεξάνδρου. Οἱ Μακεδόνες εἰσῆλθον εἰς τὴν πόλιν θριαμβευταὶ (Αὔγουστος 332)].*



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## Ὁ Δαρεῖος ζητεῖ εἰρήνην. Ἀπάντησις τοῦ Ἀλεξάνδρου. (Κεφ. 25)

XXV. Ἔτι δὲ ἐν τῇ πολιορκίᾳ τῆς Τύρου ξυνεχομένου Ἀλεξάνδρου ἀφίκοντο παρὰ Δαρείου πρέσβεις ὡς αὐτὸν ἀπαγγέλοντες μύρια μὲν τάλαντα ὑπὲρ τῆς μητρός τε καὶ τῆς γυναικὸς καὶ τῶν παίδων δοῦναι ἐθέλειν Ἀλεξάνδρῳ Δαρεῖον· τὴν δὲ χώραν πᾶσαν τὴν ἐντὸς Εὐφράτου ποταμοῦ ἔστε ἐπὶ θάλασσαν τὴν Ἑλληνικὴν Ἀλεξάνδρου εἶναι· ἀγαγόμενον δὲ γυναῖκα τὴν Δαρείου παῖδα Ἀλέξανδρον φίλον τε εἶναι Δαρείῳ καὶ ξύμμαχον.

2 Καὶ τούτων ἐν τῷ ξυλλόγῳ τῶν ἑταίρων ἀπαγγελθέντων Παρμενίωνα μὲν λέγουσιν Ἀλεξάνδρῳ εἰπεῖν, ὅτι αὐτὸς ἂν Ἀλέξανδρος ὢν ἐπὶ τούτοις ἠγάπησε καταλύσας τὸν πόλεμον μηκέτι τὸ πρόσω κινδυνεύειν· Ἀλέξανδρον δὲ Παρμενίωνι ἀποκρίνασθαι, ὅτι καὶ αὐτὸς ἄν, εἴπερ Παρμενίων ἦν, οὕτως ἔπραξεν, ἐπεὶ δὲ Ἀλέξανδρός ἐστιν, ἀποκρινεῖσθαι Δαρείῳ,
3 ἅπερ δὴ καὶ ἀπεκρίνατο. Ἔφη γὰρ οὔτε χρημάτων δεῖσθαι παρὰ Δαρείου οὔτε τῆς χώρας λαβεῖν ἀντὶ τῆς πάσης τὸ μέρος· εἶναι γὰρ τά τε χρήματα καὶ τὴν χώραν αὐτοῦ πᾶσαν· ἀγαγέσθαι τε γυναῖκα εἰ ἐθέλοι τὴν Δαρείου παῖδα, ἀγαγέσθαι ἂν καὶ οὐ διδόντος Δαρείου· ἐκέλευέ τε αὐτὸν ἥκειν, εἴ τι εὑρέσθαι ἐθέλοι φιλάνθρωπον παρ' αὐτοῦ.

Ταῦτα ὡς ἤκουσε Δαρεῖος, τὰς μὲν ξυμβάσεις ἀπέγνω τὰς πρὸς Ἀλέξανδρον, ἐν παρασκευῇ δὲ τοῦ πολέμου αὖθις ἦν.

*[ Μετὰ τὴν θριαμβευτικὴν κατάληψιν τῆς Τύρου ὁ Ἀλέξανδρος στρέφεται πρὸς Ν. μὲ τὴν ἀπόφασιν νὰ καταλάβῃ τὴν Αἴγυπτον. Πρὸ τούτου βαδίζει κατὰ τῆς Γάζης, μεγάλης πόλεως τῆς Παλαιστίνης, μετὰ δίμηνον δὲ πολιορκίαν τὴν κυριεύει καὶ τὴν χρησιμοποιεῖ ὡς ὁρμητήριον ( Νοέμβριος 332 ). Ἀπὸ τὴν Γάζαν προχωρεῖ τώρα ἀνεμπόδιστος πρὸς τὴν Αἴγυπτον ].*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

### Ὁ Ἀλέξανδρος εἰς τὴν Αἴγυπτον. Ἡ κτίσις τῆς Ἀλεξανδρείας.

### (Κεφ. 1)

I. Ἀλέξανδρος δ' ἐπ' Αἰγύπτου, ἵναπερ τὸ πρῶτον ὡρ-
μήθη, ἐστέλλετο, καὶ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ τῆς Γάζης ἐλαύνων
ἧκεν ἐς Πηλούσιον τῆς Αἰγύπτου. Ὁ δὲ ναυτικὸς στρατὸς
παρέπλει αὐτῷ ἐκ Φοινίκης ὡς ἐπ' Αἴγυπτον· καὶ καταλαμ-
βάνει τὰς ναῦς ἐν Πηλουσίῳ ὁρμούσας. Μαζάκης δὲ ὁ Πέρ-
σης, ὃς ἦν σατράπης Αἰγύπτου ἐκ Δαρείου καθεστηκώς, τήν 2
τ' ἐν Ἰσσῷ μάχην ὅπως ξυνέβη πεπυσμένος καὶ Δαρεῖον ὅτι
αἰσχρᾷ φυγῇ ἔφυγε, καὶ Φοινίκην τε καὶ Συρίαν καὶ τῆς
Ἀραβίας τὰ πολλὰ ὑπ' Ἀλεξάνδρου ἐχόμενα, αὐτῷ τ' οὐκ
οὔσης δυνάμεως Περσικῆς, ἐδέχετο ταῖς τε πόλεσι φιλίως
καὶ τῇ χώρᾳ Ἀλέξανδρον.

Ὁ δ' ἐς μὲν Πηλούσιον φυλακὴν ἐσήγαγε, τοὺς δ' ἐπὶ 3
τῶν νεῶν ἀναπλεῖν κατὰ τὸν ποταμὸν κελεύσας ἔστ' ἐπὶ
Μέμφιν πόλιν αὐτὸς ἐφ' Ἡλιουπόλεως ᾔει, ἐν δεξιᾷ ἔχων
τὸν ποταμὸν τὸν Νεῖλον καὶ ὅσα καθ' ὁδὸν χωρία ἐνδιδόν-
των τῶν ἐνοικούντων κατασχών, διὰ τῆς ἐρήμου ἀφίκετο ἐς
Ἡλιούπολιν· ἐκεῖθεν δὲ διαβὰς τὸν πόρον ἧκεν ἐς Μέμφιν· 4
καὶ θύει ἐκεῖ τοῖς τ' ἄλλοις θεοῖς καὶ τῷ Ἄπιδι καὶ ἀγῶνα
ἐποίησε γυμνικόν τε καὶ μουσικόν· ἧκον δ' αὐτῷ οἱ ἀμφὶ ταῦ-
τα τεχνῖται ἐκ τῆς Ἑλλάδος οἱ δοκιμώτατοι. Ἐκ δὲ Μέμ-
φιος κατέπλει κατὰ τὸν ποταμὸν ὡς ἐπὶ θάλασσαν τούς τε
ὑπασπιστὰς λαβὼν καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ
τῶν ἱππέων τὴν βασιλικὴν ἴλην τὴν τῶν ἑταίρων.

Ἐλθὼν δ' ἐς Κάνωβον καὶ κατὰ τὴν λίμνην τὴν Μαρίαν 5
περιπλεύσας ἀποβαίνει, ὅπου νῦν Ἀλεξάνδρεια πόλις ᾤκι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σται, Ἀλεξάνδρου ἐπώνυμος. Καὶ ἔδοξεν αὐτῷ ὁ χῶρος κάλλιστος κτίσαι ἐν αὐτῷ πόλιν καὶ γενέσθαι ἂν εὐδαίμονα τὴν πόλιν. Πόθος οὖν λαμβάνει αὐτὸν τοῦ ἔργου, καὶ αὐτὸς τὰ σημεῖα τῇ πόλει ἔθηκεν, ἵνα τ' ἀγορὰν ἐν αὐτῇ δείμασθαι ἔδει καὶ ἱερὰ ὅσα καὶ θεῶν ὧντινων, τῶν μὲν Ἑλληνικῶν, Ἴσιδος δ' Αἰγυπτίας, καὶ τὸ τεῖχος ᾗ περιβεβλῆσθαι. Καὶ ἐπὶ τούτοις ἐθύετο, καὶ τὰ ἱερὰ καλὰ ἐφαίνετο.

*[ Μετὰ ταῦτα ὁ Ἀλέξανδρος κατελήφθη ἀπὸ τὸν πόθον νὰ ἐπισκεφθῇ τὸ περίφημον μαντεῖον τοῦ θεοῦ τῶν Αἰγυπτίων Ἄμμωνος, τὸ ὁποῖον εὑρίσκετο εἰς μίαν ὄασιν τῆς λιβυκῆς ἐρήμου. Πράγματι μετέβη ἐκεῖ καὶ ἔλαβεν εὐχάριστον χρησμόν. Ἔπειτα ἐπέστρεψεν εἰς τὴν Μέμφιν, ὅπου ἐδέχθη ἐπικουρίας ἀποσταλείσας ἐκ Μακεδονίας καὶ Θρᾴκης. Ἀφοῦ δὲ ἐτακτοποίησε μὲ σύνεσιν τὰ τῆς διοικήσεως τῆς χώρας, τὴν ἄνοιξιν τοῦ 331 ἐπανῆλθεν εἰς Φοινίκην καὶ ἐκεῖθεν ὀλίγον ἀργότερον κατηυθύνθη εἰς Θάψακον ].*

## Ἐπιστροφὴ εἰς Φοινίκην. Διάβασις τοῦ Εὐφράτου καὶ τοῦ Τίγρητος.

(Κεφ. 7)

VII. Καὶ ἀφίκετο ἐς Θάψακον Ἀλέξανδρος μηνὸς Ἑκατομβαιῶνος ἐπὶ ἄρχοντος Ἀθήνησι Ἀριστοφάνους· καὶ καταλαμβάνει δυοῖν γεφύραιν ἐζευγμένον τὸν πόρον. Καὶ γὰρ Μαζαῖος, ὅτῳ ἡ φυλακὴ τοῦ ποταμοῦ ἐκ Δαρείου ἐπετέτραπτο, ἱππέας μὲν ἔχων περὶ τρισχιλίους, πεζοὺς δ' ἑξακισχιλίους καὶ τούτων Ἕλληνας μισθοφόρους δισχιλίους, τέως
2 μὲν αὐτοῦ ἐπὶ τῷ ποταμῷ ἐφύλασσεν, καὶ ἐπὶ τῷδε οὐ ξυνεχὴς ἡ γέφυρα ἐζευγμένη ἦν ἔστ' ἐπὶ τὴν ἀντιπέρας ὄχθην τοῖς Μακεδόσι, δειμαίνουσι, μὴ ἐπίθοιντο οἱ ἀμφὶ Μαζαῖον τῇ γεφύρᾳ, ἵνα ἐπαύετο· Μαζαῖος δέ, ὡς ἤκουσεν ἤδη προσάγοντα Ἀλέξανδρον, ᾤχετο φεύγων ξὺν τῇ στρατιᾷ πάσῃ. Καὶ εὐθὺς ὡς ἔφυγε Μαζαῖος, ἐπεβλήθησαν αἱ γέφυραι τῇ ὄχθῃ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῇ πέραν καὶ διέβη ἐπ' αὐτῶν ξὺν τῇ στρατιᾷ Ἀλέξανδρος.
Ἔνθεν δ' ἐχώρει ἄνω, ἐν ἀριστερᾷ ἔχων τὸν Εὐφράτην 3
ποταμὸν καὶ τῆς Ἀρμενίας τὰ ὄρη, διὰ τῆς Μεσοποταμίας
καλουμένης χώρας. Οὐκ εὐθεῖαν δ' ἐπὶ Βαβυλῶνος ἦγεν ἀπὸ
Εὐφράτου ὁρμηθείς, ὅτι τὴν ἑτέραν ἰόντι εὐπορώτερα τὰ
ξύμπαντα τῷ στρατῷ ἦν, καὶ χιλὸς τοῖς ἵπποις καὶ τὰ ἐπιτή-
δεια ἐκ τῆς χώρας λαμβάνειν καὶ τὸ καῦμα οὐχ ὡσαύτως ἐπι-
φλέγον. Ἁλόντες δέ τινες κατὰ τὴν ὁδὸν τῶν ἀπὸ τοῦ Δα- 4
ρείου στρατεύματος κατασκοπῆς ἕνεκα ἀπεσκεδασμένων ἐξήγ-
γειλαν, ὅτι Δαρεῖος ἐπὶ τοῦ Τίγρητος ποταμοῦ κάθηται
ἐγνωκὼς εἴργειν Ἀλέξανδρον, εἰ διαβαίνοι· καὶ εἶναι αὐτῷ
στρατιὰν πολὺ μείζονα ἢ ξὺν ᾗ ἐν Κιλικίᾳ ἐμάχετο. Ταῦτα 5
ἀκούσας Ἀλέξανδρος ᾔει σπουδῇ ὡς ἐπὶ τὸν Τίγρητα. Ὡς
δ' ἀφίκετο, οὔτε αὐτὸν Δαρεῖον καταλαμβάνει οὔτε τὴν φυ-
λακήν, ἥντινα ἀπολελοίπει Δαρεῖος, ἀλλὰ διαβαίνει τὸν πό-
ρον, χαλεπῶς μὲν δι' ὀξύτητα τοῦ ῥοῦ, οὐδενὸς δ' εἴργοντος.
Ἐνταῦθα ἀναπαύει τὸν στρατόν· καὶ τῆς σελήνης τὸ 6
πολὺ ἐκλιπὲς ἐγένετο· καὶ Ἀλέξανδρος ἔθυε τῇ τε σελήνῃ καὶ
τῷ ἡλίῳ καὶ τῇ γῇ, ὅτων τὸ ἔργον τοῦτο λόγος εἶναι κατέ-
χει. Καὶ ἐδόκει Ἀριστάνδρῳ πρὸς Μακεδόνων καὶ Ἀλεξάν-
δρου εἶναι τῆς σελήνης τὸ πάθημα καὶ ἐκείνου τοῦ μηνὸς
ἔσεσθαι ἡ μάχη, καὶ ἐκ τῶν ἱερῶν νίκην σημαίνεσθαι Ἀλε-
ξάνδρῳ. Ἄρας δ' ἀπὸ τοῦ Τίγρητος ᾔει διὰ τῆς Ἀσσυρίας 7
χώρας, ἐν ἀριστερᾷ μὲν ἔχων τὰ Γορδυηνῶν ὄρη, ἐν δεξιᾷ
δ' αὐτὸν τὸν Τίγρητα. Τετάρτῃ δὲ ἡμέρᾳ ἀπὸ τῆς διαβάσεως
οἱ πρόδρομοι αὐτῷ ἐξαγγέλλουσιν, ὅτι ἱππεῖς πολέμιοι ἀνὰ τὸ
πεδίον φαίνονται, ὅσοι δέ, οὐκ ἔχειν εἰκάσαι. Ξυντάξας οὖν
τὴν στρατιὰν προὐχώρει ὡς ἐς μάχην· καὶ ἄλλοι αὖ τῶν
προδρόμων προσελάσαντες ἀκριβέστερον οὗτοι κατιδόντες
ἔφασκον δοκεῖ εἶναί σφισιν οὐ πλείους ἢ χιλίους τοὺς ἱππέας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*[ Ὁ Ἀλέξανδρος τότε παραλαβὼν τὴν βασιλικὴν ἴλην καὶ μίαν τῶν ἑταίρων, καθὼς καὶ ἀρκετοὺς ἀνιχνευτάς, ἔτρεχεν ἐσπευσμένως, ἐνῷ τὸν ἄλλον στρατόν του διέταξε ν' ἀκολουθῇ μὲ κανονικὸν βῆμα. Οἱ ἱππεῖς τῶν Περσῶν, ὅταν εἶδαν ὅτι ὁ Ἀλέξανδρος ἤρχετο ὁρμητικῶς ἐνατίον των, ἐτράπησαν εἰς φυγήν. Ὁ Ἀλέξανδρος τοὺς καταδιώκει ἀκάθεκτος, τοὺς διασκορπίζει καὶ φονεύει ἀρκετοὺς ἐξ αὐτῶν. Μερικοὶ συλλαμβάνονται αἰχμάλωτοι καὶ δίδουν τὴν πληροφορίαν ὅτι ὁ Δαρεῖος ἦτο πλησίον μὲ πολυάριθμον στράτευμα. Πράγματι ὁ Δαρεῖος εἶχε συγκεντρώσει τεραστίας δυνάμεις ἀπὸ ὅλα τὰ σημεῖα τοῦ ἀπεράντου κράτους του καὶ ἤρχετο μὲ τὴν ἀπόφασιν ν' ἀποπλύνῃ τὴν ἧτταν, τὴν ὁποίαν εἶχεν ὑποστῇ εἰς Ἰσσόν. Ἐλέγετο ὅτι τὸ στράτευμα τοῦ Δαρείου ἀνήρχετο εἰς 1.000.000 πεζούς, 40.000 ἱππεῖς καὶ 200 δρεπανηφόρα ἅρματα. Εἶχε μαζί του καὶ μερικοὺς ἐλέφαντας, τοὺς ὁποίους ἔφερον οἱ Ἰνδοὶ οἱ κατοικοῦντες ἐντεῦθεν τοῦ Ἰνδοῦ ποταμοῦ.*

*Μὲ αὐτὴν τὴν δύναμιν ἦτο στρατοπευδευμένος ὁ Δαρεῖος εἰς τὰ Γαυγάμηλα πλησίον τοῦ Βουμήλου ποταμοῦ καὶ εἰς ἀπόστασιν 600 περίπου σταδίων ἀπὸ τὴν πόλιν τῶν Ἀρβήλων, εἰς τόπον τελείως ὁμαλόν. Ἔναντι τῆς δυνάμεως αὐτῆς ὁ Ἀλέξανδρος διέθετε 40.000 πεζοὺς καὶ 7.000 ἱππεῖς. Δὲν ἔχασεν ὅμως τὸ θάρρος του καὶ μὲ τὴν μεγαλοφυΐαν του συνέλαβε τὸ σχέδιον τοῦ μεγάλου ἀγῶνος. Ἐν πρώτοις παρέμεινεν ἐκεῖ ἐπὶ τέσσαρας ἡμέρας, διὰ νὰ ἀναπαυθῇ ὁ καταπεπονημένος στρατός του. Περιέφραξε τὸ στρατόπεδον μὲ τάφρον καὶ χαράκωμα καὶ ἀφῆκεν ἐντὸς αὐτοῦ τὰ μεταγωγικὰ καὶ τοὺς ἀνικάνους πρὸς μάχην. Μετὰ ταῦτα, ἀφοῦ παρέλαβε τὴν μάχιμον δύναμίν του, ἐν καιρῷ νυκτὸς ἐκινήθη μὲ τὸν σκοπὸν νὰ ἐπιτεθῇ κατὰ τῶν Περσῶν κατὰ τὰ ἐξημερώματα. Ἐξ ἄλλου ὁ Δαρεῖος ἔμαθεν ὅτι ὁ Ἀλέξανδρος ἤρχετο ἐναντίον του καὶ παρέταξε τὸν στρατόν του πρὸς μάχην.*

*Οἱ δύο στρατοὶ ἀπεῖχον μόνον τριάκοντα στάδια ( περίπου 6 χιλιόμετρα ). Ὁ Ἀλέξανδρος κατέβαινε μὲ τὸν στρατόν του κάτω ἀπὸ τοὺς λόφους πρὸς τὴν ἀνοικτὴν πεδιάδα. Ἐκεῖ, ὅταν εἶδε τοὺς βαρβάρους, ἐσταμάτησε τὴν φάλαγγά του. Παραλαβὼν δὲ τοὺς ἐλαφρὰ ὡπλισμένους στρατιώτας καὶ τοὺς ἑταίρους ἐκ τῶν ἱππέων, περιήρχετο ἐξετάζων ὅλον τὸν τόπον, ὅπου ἐπρόκειτο νὰ συνάψῃ τὴν μάχην. Ὅταν ἐπέστρεψε, συνεκάλεσεν ὅλους τοὺς ἀρχηγοὺς τοῦ στρατεύματος καὶ τοὺς προέτρεψε νὰ ἐμψυχώσουν τοὺς στρατιώτας διὰ τὸν μεγάλον ἀγῶνα. « Κατὰ τὴν μάχην αὐτὴν — ἔλεγε — δὲν θ' ἀγωνισθῶμεν περὶ*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*τῆς Κοίλης Συρίας ἢ τῆς Φοινίκης, οὐδὲ χάριν τῆς Αἰγύπτου, ὅπως προηγουμένως, ἀλλ' ἀπὸ αὐτὴν θὰ κριθῇ τελικῶς ἡ τύχη ὅλης τῆς 'Ασίας καὶ θὰ ἀποφασισθῇ ποῖοι θὰ λάβουν τὴν ἐξουσίαν αὐτῆς». 'Αφοῦ ἀπηύθυνε τὰς προτροπὰς αὐτὰς εἰς τοὺς ἀρχηγούς, διέταξε νὰ δειπνήσῃ ὁ στρατὸς καὶ ν' ἀναπαυθῇ. Λέγουν ὅτι ὁ Παρμενίων τὸν προέτρεψε νὰ ἐπιτεθῇ κατὰ τῶν Περσῶν ἐν καιρῷ νυκτός, ἐκεῖνος δὲ ἀπεκρίθη ὅτι δὲν ἦτο καλὸν ὁ 'Αλέξανδρος νὰ κλέψῃ τὴν νίκην, ἀλλ' ὅτι ἔπρεπε νὰ κινήσῃ φανερὰ καὶ χωρὶς πανουργίαν.*

*Οἱ δύο στρατοὶ λοιπὸν παρατεταγμένοι μὲ ὅλας τὰς ἀπαιτουμένας διὰ τὴν μάχην προετοιμασίας μέχρι τῆς τελευταίας λεπτομερείας ἀνέμενον ἕως τὰ ἐξημερώματα, ὅτε ἤρχισαν κινούμενοι ].*

## Ἡ κρίσιμος μάχη εἰς τὰ Γαυγάμηλα ( 331 π. Χ. ).
## Νέα φυγὴ τοῦ Δαρείου.

### ( Κεφ. 13 - 15 )

XIII. Ὡς δὲ ὁμοῦ ἤδη τὰ στρατόπεδα ἐγίγνετο, ὤφθη Δαρεῖός τε καὶ οἱ ἀμφ' αὐτόν, οἵ τε μηλοφόροι Πέρσαι καὶ 'Ινδοὶ καὶ 'Αλβανοὶ καὶ Κᾶρες οἱ ἀνάσπαστοι καὶ οἱ Μάρδοι τοξόται, κατ' αὐτὸν 'Αλέξανδρον τεταγμένοι καὶ τὴν ἴλην τὴν βασιλικήν. Ἦγε δὲ ὡς ἐπὶ τὸ δεξιὸν τὸ αὑτοῦ 'Αλέξανδρος μᾶλλον, καὶ οἱ Πέρσαι ἀντιπαρῆγον, ὑπερφαλαγγοῦντες πολὺ ἐπὶ τῷ σφῶν εὐωνύμῳ. Ἤδη τε οἱ τῶν Σκυθῶν ἱππεῖς 2
παριππεύοντες ἥπτοντο τῶν προτεταγμένων τῆς 'Αλεξάνδρου τάξεως, καὶ 'Αλέξανδρος ἔτι ὅμως ἦγεν ἐπὶ δόρυ, καὶ ἐγγὺς ἦν τοῦ ἐξαλλάσσειν τὸν ὡδοποιημένον πρὸς τῶν Περσῶν χῶρον. Ἔνθα δὴ δείσας Δαρεῖος, μὴ προχωρησάντων ἐς τὰ οὐχ ὁμαλὰ τῶν Μακεδόνων ἀχρεῖά σφισι γένηται τὰ ἅρματα, κελεύει τοὺς προτεταγμένους τοῦ εὐωνύμου περιιππεύειν τὸ κέρας τὸ δεξιόν, ᾗ 'Αλέξανδρος ἦγε, τοῦ μηκέτι προσωτέρω αὐτοὺς ἐξάγειν τὸ κέρας.

Τούτου δὲ γενομένου 'Αλέξανδρος ἐμβάλλειν κελεύει ἐς 3

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτοὺς τοὺς μισθοφόρους ἱππέας, ὧν Μενίδας ἡγεῖτο. Ἀντεκ-
δραμόντες δ' ἐπ' αὐτοὺς οἵ τε Σκύθαι ἱππεῖς καὶ τῶν Βα-
κτρίων οἱ ξυντεταγμένοι τοῖς Σκύθαις τρέπουσιν ὀλίγους
ὄντας πολλῷ πλείονες. Ἀλέξανδρος δὲ τοὺς περὶ Ἀρίστωνά
τε, τοὺς Παίονας, καὶ τοὺς ξένους ἐμβαλεῖν τοῖς Σκύθαις
ἐκέλευσε· καὶ ἐγκλίνουσιν οἱ βάρβαροι. Βάκτριοι δὲ οἱ ἄλλοι
πελάσαντες τοῖς Παίοσί τε καὶ ξένοις τούς τε σφῶν φεύγον-
τας ἤδη ἀνέστρεψαν ἐς τὴν μάχην καὶ τὴν ἱππομαχίαν ξυ-
4 στῆναι ἐποίησαν. Καὶ ἔπιπτον μὲν πλείονες τῶν Ἀλεξάν-
δρου, τῷ τε πλήθει τῶν βαρβάρων βιαζόμενοι καὶ ὅτι αὐτοί
τε οἱ Σκύθαι καὶ οἱ ἵπποι αὐτοῖς ἀκριβέστερον ἐς ἀλκὴν πε-
φραγμένοι ἦσαν. Ἀλλὰ καὶ ὣς τάς τε προσβολὰς αὐτῶν ἐδέ-
χοντο οἱ Μακεδόνες καὶ βίᾳ κατ' ἴλας προσπίπτοντες ἐξεώ-
θουν ἐκ τῆς τάξεως.

5 Καὶ ἐν τούτῳ τὰ ἅρματα τὰ δρεπανηφόρα ἐφῆκαν οἱ
βάρβαροι κατ' αὐτὸν Ἀλέξανδρον, ὡς ἀναταράξοντες αὐτῷ
τὴν φάλαγγα. Καὶ ταύτῃ μάλιστα ἐψεύσθησαν. Τὰ μὲν γὰρ
εὐθύς, ὡς προσεφέρετο, κατηκόντισαν οἵ τ' Ἀγριᾶνες καὶ
οἱ ξὺν Βαλάκρῳ ἀκοντισταὶ οἱ προτεταγμένοι τῆς ἵππου τῶν
ἑταίρων· τὰ δὲ τῶν ῥυτήρων ἀντιλαμβανόμενοι τούς τ' ἀνα-
6 βάτας κατέσπων καὶ τοὺς ἵππους περιιστάμενοι ἔκοπτον·
Ἔστι δὲ ἃ καὶ διεξέπεσε διὰ τῶν τάξεων· διέσχον γάρ, ὥσπερ
παρήγγελτο αὐτοῖς, ἵνα προσέπιπτε τὰ ἅρματα· καὶ ταύτῃ
μάλιστα ξυνέβη αὐτά τε σῶα καὶ οἷς ἐπηλάθη ἀβλαβῶς δι-
ελθεῖν· ἀλλὰ καὶ τούτων οἵ τε ἱπποκόμοι τῆς Ἀλεξάνδρου
στρατιᾶς καὶ οἱ ὑπασπισταὶ οἱ βασιλικοὶ ἐκράτησαν.

XIV. Ὡς δὲ Δαρεῖος ἐπῆγεν ἤδη τὴν φάλαγγα πᾶσαν,
ἐνταῦθα Ἀλέξανδρος Ἀρέτην μὲν κελεύει ἐμβαλεῖν τοῖς πε-
2 ριιππεύουσι τὸ κέρας σφῶν τὸ δεξιὸν ὡς ἐς κύκλωσιν· αὐτὸς
δὲ τέως μὲν ἐπὶ κέρως τοὺς ἀμφ' αὐτὸν ἦγεν, τῶν δ' ἐκβοη-
θησάντων ἱππέων τοῖς κυκλουμένοις τὸ κέρας τὸ δεξιὸν πα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ραρρηξάντων τι τῆς πρώτης φάλαγγος τῶν βαρβάρων ἐπι-
στρέψας κατὰ τὸ διέχον καὶ ὥσπερ ἔμβολον ποιήσας τῆς τε
ἵππου τῆς ἑταιρικῆς καὶ τῆς φάλαγγος τῆς ταύτῃ τεταγμέ- 3
νης ἦγε δρόμῳ τε καὶ ἀλαλαγμῷ ὡς ἐπ' αὐτὸν Δαρεῖον. Καὶ
χρόνον μέν τινα ὀλίγον ἐν χερσὶν ἡ μάχη ἐγένετο· ὡς δὲ οἵ
τε ἱππεῖς οἱ ἀμφὶ Ἀλέξανδρον καὶ αὐτὸς Ἀλέξανδρος εὐρώ-
στως ἐνέκειντο ὠθισμοῖς τε χρώμενοι καὶ τοῖς ξυστοῖς τὰ
πρόσωπα τῶν Περσῶν κόπτοντες, ἥ τε φάλαγξ ἡ Μακεδο-
νικὴ πυκνὴ καὶ ταῖς σαρίσσαις πεφρικυῖα ἐμβεβλήκει ἤδη
αὐτοῖς, καὶ πάντα ὁμοῦ τὰ δεινὰ καὶ πάλαι ἤδη φοβερῷ ὄντι
Δαρείῳ ἐφαίνετο, πρῶτος αὐτὸς ἐπιστρέψας ἔφευγεν· ἐφοβή-
θησαν δὲ καὶ οἱ περιιππεύοντες τῶν Περσῶν τὸ κέρας ἐμβα-
λόντων ἐς αὐτοὺς εὐρώστως τῶν ἀμφ' Ἀρέτην.

Ταύτῃ μὲν δὴ τῶν Περσῶν φυγὴ καρτερὰ ἦν, καὶ οἱ Μα- 4
κεδόνες ἐφεπόμενοι ἐφόνευον τοὺς φεύγοντας. Οἱ δ' ἀμφὶ Σιμ-
μίαν καὶ ἡ τούτου τάξις οὐκέτι ξυνεξορμῆσαι Ἀλεξάνδρῳ δυ-
νατοὶ ἐγένοντο ἐς τὴν δίωξιν, ἀλλ' ἐπιστήσαντες τὴν φάλαγ-
γα αὐτοῦ ἠγωνίζοντο, ὅτι τὸ εὐώνυμον τῶν Μακεδόνων πο-
νεῖσθαι ἠγγέλλετο. Καὶ ταύτῃ παραρραγείσης αὐτοῖς τῆς 5
τάξεως κατὰ τὸ διέχον διεκπαίουσι τῶν τ' Ἰνδῶν τινες καὶ
τῆς Περσικῆς ἵππου ὡς ἐπὶ τὰ σκευοφόρα τῶν Μακεδόνων·
καὶ τὸ ἔργον ἐκεῖ καρτερὸν ἐγίγνετο. Οἵ τε γὰρ Πέρσαι θρα-
σέως προσέκειντο ἀνόπλοις τοῖς πολλοῖς καὶ οὐ προσδοκήσα-
σιν ἐπὶ σφᾶς διεκπεσεῖσθαί τινας διακόψαντας διπλῆν τὴν φά-
λαγγα, καὶ οἱ αἰχμάλωτοι βάρβαροι ἐμβαλόντων τῶν Περσῶν
ξυνεπέθεντο καὶ αὐτοὶ τοῖς Μακεδόσιν ἐν τῷ ἔργῳ. Τῶν δ' 6
ἐπιτεταγμένων τῇ πρώτῃ φάλαγγι οἱ ἡγεμόνες ὀξέως μαθόν-
τες τὸ γιγνόμενον μεταβαλόντες, ᾗπερ παρήγγελτο αὐτοῖς,
τὴν τάξιν ἐπιγίγνονται κατὰ νώτου τοῖς Πέρσαις, καὶ πολλοὺς
μὲν αὐτῶν αὐτοῦ ἀμφὶ τοῖς σκευοφόροις ξυνεχομένους ἀπέ-
κτειναν, οἱ δ' αὐτῶν ἐγκλίναντες ἔφευγον. Οἱ δ' ἐπὶ τοῦ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δεξιοῦ κέρως τῶν Περσῶν οὔπω τῆς φυγῆς τῆς Δαρείου ᾐσθημένοι περιιππεύσαντες τὸ Ἀλεξάνδρου εὐώνυμον κατὰ κέρας τοῖς ἀμφὶ τὸν Παρμενίωνα ἐνέβαλλον.

XV. Καὶ ἐν τούτῳ ἀμφιβόλων τὰ πρῶτα γενομένων τῶν Μακεδόνων πέμπει Παρμενίων παρ' Ἀλέξανδρον σπουδῇ ἀγγελοῦντα, ὅτι ἐν ἀγῶνι ξυνέχεται τὸ κατὰ σφᾶς καὶ βοηθεῖν δεῖ. Ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ τοῦ μὲν διώκειν ἔτι ἀπετράπετο, ἐπιστρέψας δὲ ξὺν τῇ ἵππῳ τῶν ἑταίρων ὡς ἐπὶ τὸ δεξιὸν τῶν βαρβάρων ἦγε δρόμῳ. Καὶ πρῶτα μὲν τοῖς φεύγουσι τῶν πολεμίων ἱππεῦσιν, τοῖς τε Παρθυαίοις καὶ τῶν Ἰνδῶν ἔστιν οἷς καὶ Πέρσαις τοῖς πλείστοις καὶ κρατί-
2 στοις ἐμβάλλει. Καὶ ἱππομαχία αὕτη καρτερωτάτη τοῦ παντὸς ἔργου ξυνέστη. Ἐς βάθος τε γάρ, οἷα δὴ ἰληδὸν τεταγμένοι, ἀνέστρεφον οἱ βάρβαροι καὶ ἀντιμέτωποι τοῖς ἀμφ' Ἀλέξανδρον ξυμπεσόντες οὔτ' ἀκοντισμῷ ἔτι οὔτ' ἐξελιγμοῖς τῶν ἵππων, ἥπερ ἱππομαχίας δίκη, ἐχρῶντο, ἀλλὰ διεκπαῖσαι πᾶς τις τὸ καθ' αὑτόν, ὡς μόνην ταύτην σωτηρίαν σφίσιν οὖσαν, ἐπειγόμενοι ἔκοπτόν τε καὶ ἐκόπτοντο ἀφειδῶς, οἷα δὴ οὐχ ὑπὲρ νίκης ἀλλοτρίας ἔτι, ἀλλ' ὑπὲρ σωτηρίας οἰκείας ἀγωνιζόμενοι. Καὶ ἐνταῦθα πίπτουσι μὲν ἀμφὶ ἑξήκοντα τῶν ἑταίρων τοῦ Ἀλεξένδρου, καὶ τιτρώσκεται Ἡφαιστίων τ' αὐτὸς καὶ Κοῖνος καὶ Μενίδας· ἀλλὰ ἐκράτησε καὶ τούτων Ἀλέξανδρος.

3 Καὶ τούτων μέν, ὅσοι διεξέπεσον διὰ τῶν ἀμφ' Ἀλέξανδρον, ἔφευγον ἀνὰ κράτος· Ἀλέξανδρος δ' ἐγγὺς ἦν προσμεῖξαι ἤδη τῷ δεξιῷ κέρατι τῶν πολεμίων. Καὶ ἐν τούτῳ οἱ Θεσσαλοὶ ἱππεῖς λαμπρῶς ἀγωνισάμενοι οὐχ ὑπελείποντο Ἀλεξάνδρῳ τοῦ ἔργου· ἔφευγον γὰρ ἤδη οἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τῶν βαρβάρων, ὁπότ' Ἀξέξανδρος αὐτοῖς ξυνέμειξεν, ὥστε ἀποτραπόμενος Ἀλέξανδρος ἐς τὸ διώκειν αὖθις Δα-
4 ρεῖον ἐξώρμησεν. Καὶ ἐδίωξεν, ἔστε φάος ἦν· καὶ οἱ ἀμφὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Παρμενίωνα τὸ καθ᾽ αὐτοὺς διώκοντες εἵποντο. ᾽Αλλ᾽ ᾽Αλέξανδρος μὲν διαβὰς τὸν ποταμὸν τὸν Λύκον κατεστρατοπέδευσεν αὐτοῦ, ὡς ἀναπαῦσαι ὀλίγον τούς τ᾽ ἄνδρας καὶ τοὺς ἵππους· Παρμενίων δὲ τό τε στρατόπεδον τῶν βαρβάρων εἷλε καὶ τὰ σκευοφόρα καὶ τοὺς ἐλέφαντας καὶ τὰς καμήλους.

᾽Αλέξανδρος δ᾽ ἀναπαύσας τοὺς ἀμφ᾽ αὑτὸν ἱππέας ἔστ᾽ 5
ἐπὶ μέσας νύκτας προὐχώρει αὖθις κατὰ σπουδὴν ἐπ᾽ ῎Αρβηλα, ὡς Δαρεῖόν τε αἱρήσων ἐκεῖ καὶ τὰ χρήματα καὶ τὴν ἄλλην κατασκευὴν τὴν βασιλικήν. Καὶ ἀφίκετο ἐς ῎Αρβηλα τῇ ὑστεραίᾳ διώξας τοὺς πάντας ἐκ τῆς μάχης σταδίους μάλιστα ἐς ἑξακοσίους. Καὶ Δαρεῖον μὲν οὐ καταλαμβάνει ἐν ᾽Αρβήλοις, ἀλλ᾽ ἔφευγεν οὐδέν τι ἐλινύσας Δαρεῖος· τὰ χρήματα δ᾽ ἐγκατελήφθη καὶ ἡ κατασκευὴ πᾶσα, καὶ τὸ ἅρμα τὸ Δαρείου αὖθις ἐγκατελήφθη καὶ ἡ ἀσπὶς αὖθις καὶ τὰ τόξα ἑάλω.

᾽Απέθανον δὲ τῶν ἀμφ᾽ ᾽Αλέξανδρον ἄνδρες μὲν ἐς ἑκα- 6
τὸν μάλιστα, ἵπποι δ᾽ ἔκ τε τῶν τραυμάτων καὶ τῆς κακοπαθείας τῆς ἐν τῇ διώξει ὑπὲρ τοὺς χιλίους, καὶ τούτων τῆς ἑταιρικῆς ἵππου σχεδόν τι οἱ ἡμίσεες. Τῶν βαρβάρων δὲ νεκροὶ μὲν ἐλέγοντο ἐς τριάκοντα μυριάδας, ἑάλωσαν δὲ πολὺ πλείονες τῶν ἀποθανόντων καὶ οἱ ἐλέφαντες καὶ τῶν ἁρμάτων ὅσα μὴ κατεκόπη ἐν τῇ μάχῃ.

Τοῦτο τὸ τέλος τῇ μάχῃ ταύτῃ ἐγένετο ἐπὶ ἄρχοντος 7
᾽Αθηναίοις ᾽Αριστοφάνους μηνὸς Πυανεψιῶνος· καὶ ᾽Αριστάνδρῳ ξυνέβη ἡ μαντεία ἐν τῷ αὐτῷ μηνί, ἐν ὅτῳ ἡ σελήνη ἐκλιπὴς ἐφάνη, τήν τε μάχην ᾽Αλεξάνδρῳ καὶ τὴν νίκην γενέσθαι.

### Ὁ ᾽Αλέξανδρος εἰς τὴν Βαβυλῶνα καὶ εἰς τὰ Σοῦσα.
### (Κεφ. 16)

XVI. Δαρεῖος μὲν δὴ εὐθὺς ἐκ τῆς μάχης παρὰ τὰ ὄρη τὰ ᾽Αρμενίων ἤλαυνεν ἐπὶ Μηδίας, καὶ ξὺν αὐτῷ οἵ τε Βά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κτριοι ἱππεῖς, ὡς τότε ἐν τῇ μάχῃ ξυνετάχθησαν, ἔφευγον
καὶ Περσῶν οἵ τε συγγενεῖς οἱ βασιλέως καὶ τῶν μηλοφόρων
2 καλουμένων οὐ πολλοί. Προσεγένοντο δ' αὐτῷ κατὰ τὴν φυ-
γὴν καὶ τῶν μισθοφόρων ξένων ἐς δισχιλίους, οὓς Πάτρων
τε ὁ Φωκεὺς καὶ Γλαῦκος ὁ Αἰτωλὸς ἦγον. Ταύτῃ δ' αὐτῷ
ἡ φυγὴ ἐπὶ Μηδίας ἐγίγνετο, ὅτι ἐδόκει τὴν ἐπὶ Σούσων τε
καὶ Βαβυλῶνος ἥξειν 'Αλέξανδρον ἐκ τῆς μάχης, ὅτι οἰκουμέ-
νη τ' ἐκείνη πᾶσα ἦν καὶ ὁδὸς τοῖς σκευοφόροις οὐ χαλεπή,
καὶ ἅμα τοῦ πολέμου τὸ ἆθλον ἡ Βαβυλὼν καὶ τὰ Σοῦσα
ἐφαίνετο· ἡ δ' ἐπὶ Μηδίας μεγάλῳ στρατεύματι οὐκ εὔπορος.
3 Καὶ οὐκ ἐψεύσθη Δαρεῖος. 'Αλέξανδρος γὰρ ἐξ 'Αρβή-
λων ὁρμηθεὶς τὴν ἐπὶ Βαβυλῶνος εὐθὺς προὐχώρει. Ἤδη
τ' οὐ πόρρω Βαβυλῶνος ἦν καὶ τὴν δύναμιν ξυντεταγμένην
ὡς ἐς μάχην ἦγε, καὶ οἱ Βαβυλώνιοι πανδημεὶ ἀπήντων αὐ-
τῷ ξὺν ἱερεῦσί τε καὶ ἄρχουσι, δῶρά τε ὡς ἕκαστοι φέρον-
τες καὶ τὴν πόλιν ἐνδιδόντες καὶ τὴν ἄκραν καὶ τὰ χρήμα-
4 τα. 'Αλέξανδρος δὲ παρελθὼν ἐς τὴν Βαβυλῶνα τὰ ἱερά, ἃ
Ξέρξης καθεῖλεν, ἀνοικοδομεῖν προσέταξε Βαβυλωνίοις, τά
τ' ἄλλα καὶ τοῦ Βήλου τὸ ἱερόν, ὃν μάλιστα θεῶν τιμῶσι
5 Βαβυλώνιοι... Ἔνθα δὴ καὶ τοῖς Χαλδαίοις ἐνέτυχε, καὶ ὅσα
ἐδόκει Χαλδαίοις ἀμφὶ τὰ ἱερὰ τὰ ἐν Βαβυλῶνι, ἔπραξε, τά
τ' ἄλλα καὶ τῷ Βήλῳ, καθ' ἃ ἐκεῖνοι ἐξηγοῦντο, ἔθυσεν.
6 Αὐτὸς δ' ἐπὶ Σούσων ἐστέλλετο· καὶ ἐντυγχάνει αὐτῷ
κατὰ τὴν ὁδὸν ὅ τε παῖς τοῦ Σουσίων σατράπου καὶ παρὰ
Φιλοξένου ἐπιστολεύς. Φιλόξενον γὰρ εὐθὺς ἐκ τῆς μάχης
ἐπὶ Σούσων ἐστάλκει 'Αλέξανδρος. Τῇ δ' ἐπιστολῇ τῇ παρὰ
Φιλοξένου ἐνεγέγραπτο, ὅτι τήν τε πόλιν οἱ Σούσιοι παρα-
7 δεδώκασι καὶ τὰ χρήματα πάντα σῶά ἐστιν 'Αλεξάνδρῳ.
'Αφίκετο δὲ ἐς Σοῦσα 'Αλέξανδρος ἐκ Βαβυλῶνος ἐν ἡμέραις
εἴκοσι· καὶ παρελθὼν ἐς τὴν πόλιν τά τε χρήματα παρέλαβεν,
ὄντα ἀργυρίου τάλαντα ἐς πεντακισμύρια, καὶ τὴν ἄλλην

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κατασκευὴν τὴν βασιλικήν. Πολλὰ δὲ καὶ ἄλλα κατελήφθη
αὐτοῦ, ὅσα Ξέρξης ἀπὸ τῆς Ἑλλάδος ἄγων ἦλθε, τά τ' ἄλ-
λα καὶ Ἁρμοδίου καὶ Ἀριστογείτονος χαλκαῖ εἰκόνες. Καὶ 8
ταύτας Ἀθηναίοις ὀπίσω πέμπει Ἀλέξανδρος, καὶ νῦν κεῖν-
ται Ἀθήνησιν ἐν Κεραμεικῷ αἱ εἰκόνες, ᾗ ἄνιμεν ἐς πό-
λιν, καταντικρὺ μάλιστα τοῦ Μητρῴου.

*[ Συνεχίζων ἀδιακόπως τὴν πορείαν του ὁ 'Αλ. διέρχεται διὰ τῆς ὀρεινῆς χώρας τῶν Οὐξίων ( Β.Α. τῶν ἐκβολῶν τοῦ Τίγρητος ), διαβαίνει τὰ στενὰ τῆς Περσίδος καὶ φθάνει εἰς τὴν πρωτεύουσαν αὐτῆς Περσέπολιν. 'Εκεῖθεν προχωρεῖ πρὸς Μηδίαν, διότι εἶχε πληροφορηθῆ ὅτι ὁ Δαρεῖος εὑρίσκετο ἐκεῖ. 'Αλλ' ὁ Δαρεῖος εἶχε προλάβει νὰ φύγῃ. 'Ο 'Αλ. προχωρεῖ εἰς τὰ 'Εκβάτανα καὶ ἀκολουθῶν τὰ ἴχνη τοῦ φεύγοντος Δαρείου διαβαίνει τὰς Κασπίας πύλας. 'Εκεῖ μανθάνει ὅτι ὁ σατράπης τῆς Βακτριανῆς Βῆσσος κρατεῖ αἰχμάλωτον τὸν Δαρεῖον. Σπεύδει τότε ὁ 'Αλ. εἰς καταδίωξιν τοῦ Βήσσου. 'Αλλ' οὗτος φεύγων πληγώνει καθ' ὁδὸν θανασίμως τὸν Δαρεῖον, τὸν ὁποῖον ἐθεώρει πρόσκομμα εἰς τὴν πορείαν του. 'Ο 'Αλ. εὑρίσκει τὸν Δαρεῖον νεκρόν. Κατόπιν προχωρεῖ. 'Υποτάσσει τοὺς Μάρδους, 'Υρκανίους καὶ Παρθυαίους, εἰσελαύνει εἰς τὴν 'Αρείαν ( τὸ σημερινὸν 'Αφγανιστὰν ), διέρχεται τὴν 'Αραχωσίαν καὶ τὸν 'Ινδικὸν Καύκασον καὶ εἰσβάλλει εἰς τὴν Βακτριανήν, τὴν ὁποίαν κυριεύει ἄνευ ἀντιστάσεως. Διαβαίνει ἔπειτα τὸν Ὦξον ποταμὸν καὶ εἰσέρχεται εἰς Σογδιανήν. 'Εκεῖ συλλαμβάνει τὸν Βῆσσον, τὸν ὁποῖον τιμωρεῖ σκληρῶς δι' ἀκρωτηριασμοῦ. Πορεύεται κατόπιν πρὸς τὸν 'Ιαξάρτην ποταμόν, τὸν ὁποῖον οἱ ἀρχαῖοι ὠνόμαζον καὶ Τάναϊν, καὶ ὁ ὁποῖος χωρίζει τὴν 'Ασίαν ἀπὸ τὴν Εὐρώπην. 'Εκεῖ κτίζει πόλιν, ἡ ὁποία ὠνομάσθη 'Α λ ε ξ ά ν δ ρ ε ι α ἡ ἐ σ χ ά τ η ( ἡ 'Αλεξάνδρεια ἡ παρὰ τῷ Τανάϊδι ). 'Απ' ἐκεῖ ἐπιστρέφει εἰς Σογδιανήν, ὑποτάσσει τὴν χώραν τῶν Παραιτακηνῶν, διαβαίνει τὸ ὄρος Παραπάμισον καὶ κατέρχεται διὰ Νικαίας εἰς τὸν Κωφῆνα ποταμόν. Φθάνει τέλος εἰς τὴν πόλιν Τάξιλα, μεταξὺ 'Ινδοῦ καὶ 'Υδάσπου. 'Υποτάσσει αὐτὴν καὶ ἐπέρχεται κατὰ τοῦ ἰσχυροῦ βασιλέως Πώρου. Τὸ βασίλειον τούτου ἔκειτο πέραν τοῦ 'Υδάσπου καὶ ἐξετείνετο μέχρι τοῦ 'Υδραώτου. 'Ο Πῶρος προβάλλει σθεναρὰν ἀντίστασιν καὶ μάχεται γενναίως μὲ 30 χιλ. 'Ινδοὺς πεζούς, 4 χιλ. ἱππεῖς, 30 ἅρματα καὶ 200 πυργοφόρους ἐλέφαντας. 'Η ἀντίστασίς του ὅμως συνετρίβη ].*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ

### Ἀλέξανδρος καὶ Πῶρος.

### ( Κεφ. 18 - 19 )

XVIII. Καὶ ἐν αὐτῷ Κράτερός τε καὶ οἱ ἄλλοι ὅσοι τῆς στρατιᾶς τῆς Ἀλεξάνδρου ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου ὑπολελειμμένοι ἡγεμόνες ἦσαν, ὡς νικῶντα λαμπρῶς κατεῖδον Ἀλέξανδρον, ἐπέρων καὶ αὐτοὶ τὸν ποταμόν. Καὶ οὗτοι οὐ μείονα τὸν φόνον ἐν τῇ ἀποχωρήσει τῶν Ἰνδῶν ἐποίησαν, ἀκμῆτες ἀντὶ κεκμηκότων τῶν ἀμφ' Ἀλέξανδρον ἐπιγενόμενοι τῇ διώξει.

2 Ἀπέθανον δὲ τῶν Ἰνδῶν πεζοὶ μὲν ὀλίγον ἀποδέοντες τῶν δισμυρίων, ἱππεῖς δὲ ἐς τρισχιλίους, τὰ δὲ ἅρματα ξύμπαντα κατεκόπη· καὶ Πώρου δύο παῖδες ἀπέθανον καὶ Σπιτάκης ὁ νομάρχης τῶν ταύτῃ Ἰνδῶν καὶ τῶν ἐλεφάντων καὶ ἁρμάτων οἱ ἡγεμόνες καὶ οἱ ἱππάρχαι καὶ οἱ στρατηγοὶ τῆς στρατιᾶς τῆς Πώρου ξύμπαντες. Ἐλήφθησαν δὲ καὶ οἱ ἐλέφαντες, ὅσοι γε αὐτῶν μὴ αὐτοῦ ἀπέθανον.

3 Τῶν δ' ἀμφ' Ἀλέξανδρον πεζοὶ μὲν ἀπὸ ἑξακισχιλίων τῶν ἐν τῇ πρώτῃ προσβολῇ γενομένων ἐς ὀγδοήκοντα μάλιστα ἀπέθανον· ἱππεῖς δὲ τῶν μὲν ἱπποτοξοτῶν, οἳ δὴ καὶ πρῶτοι τοῦ ἔργου ἥψαντο, δέκα· τῆς δὲ ἑταιρικῆς ἵππου ἀμφὶ τοὺς εἴκοσι· τῶν δὲ ἄλλων ἱππέων ὡς διακόσιοι.

4 Πῶρος δὲ μεγάλα ἔργα ἐν τῇ μάχῃ ἀποδειξάμενος μὴ ὅτι στρατηγοῦ, ἀλλὰ καὶ στρατιώτου γενναίου, ὡς τῶν τε ἱππέων τὸν φόνον κατεῖδε καὶ τῶν ἐλεφάντων τοὺς μὲν αὐτοῦ πεπτωκότας, τοὺς δὲ ἐρήμους τῶν ἡγεμόνων λυπροὺς πεπλανημένους, τῶν δὲ πεζῶν αὐτῷ οἱ πλείους ἀπολώλεσαν, οὐχ ἧπερ Δαρεῖος ὁ μέγας βασιλεὺς ἐξάρχων τοῖς ἀμφ' αὐτὸν τῆς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φυγῆς ἀπεχώρει, ἀλλὰ ἔστε γὰρ ὑπέμενέ τι τῶν 'Ινδῶν ἐν τῇ 5
μάχῃ ξυνεστηκός, ἐς τοσόνδε ἀγωνισάμενος, τετρωμένος δὲ
τὸν δεξιὸν ὦμον, ὃν δὴ γυμνὸν μόνον ἔχων ἐν τῇ μάχῃ ἀνε-
στρέφετο ( ἀπὸ γὰρ τοῦ ἄλλου σώματος ἤρκει αὐτῷ τὰ βέλη
ὁ θώραξ, περιττὸς ὢν κατά τε τὴν ἰσχὺν καὶ τὴν ἁρμονίαν,
ὡς ὕστερον καταμαθεῖν θεωμένοις ἦν ), τότε δὴ καὶ αὐτὸς
ἀπεχώρει ἐπιστρέψας τὸν ἐλέφαντα. Καὶ 'Αλέξανδρος μέγαν 6
τε αὐτὸν καὶ γενναῖον ἄνδρα ἰδὼν ἐν τῇ μάχῃ σῶσαι ἐπε-
θύμησε. Πέμπει δὴ παρ' αὐτὸν πρῶτα μὲν Ταξίλην τὸν 'Ιν-
δόν· καὶ Ταξίλης προσιππεύσας, ἐφ' ὅσον οἱ ἀσφαλὲς ἐφαί-
νετο, τῷ ἐλέφαντι, ὃς ἔφερε τὸν Πῶρον, ἐπιστῆσαί τε ἠξίου
τὸ θηρίον, οὐ γὰρ εἶναί οἱ ἔτι φεύγειν, καὶ ἀκοῦσαι τῶν παρ'
'Αλεξάνδρου λόγων. Ὁ δὲ ἰδὼν ἄνδρα ἐχθρὸν ἐκ παλαιοῦ τὸν 7
Ταξίλην ἐπιστρέψας ἀνήγετο ὡς ἀκοντίσων· καὶ ἂν καὶ κατέ-
κανε τυχόν, εἰ μὴ ὑποφθάσας ἐκεῖνος ἀπήλασεν ἀπὸ τοῦ Πώ-
ρου πρόσω τὸν ἵππον. 'Αλέξανδρος δὲ οὐδὲ ἐπὶ τῷδε τῷ Πώ-
ρῳ χαλεπὸς ἐγένετο, ἀλλ' ἄλλους τε ἐν μέρει ἔπεμπε καὶ δὴ
καὶ Μερόην ἄνδρα 'Ινδόν, ὅτι φίλον εἶναι ἐκ παλαιοῦ τῷ
Πώρῳ τὸν Μερόην ἔμαθε. Πῶρος δὲ ὡς τὰ παρὰ τοῦ Με- 8
ρόου ἤκουσε καὶ ἐκ τοῦ δίψους ἅμα ἐκρατεῖτο, ἐπέστησέ τε
τὸν ἐλέφαντα καὶ κατέβη ἀπ' αὐτοῦ· ὡς δὲ ἔπιέ τε καὶ ἀνέ-
ψυξεν, ἄγειν αὐτὸν σπουδῇ ἐκέλευσε παρ' 'Αλέξανδρον.

XIX. Καὶ ὁ μὲν ἤγετο. 'Αλέξανδρος δὲ ὡς προσάγοντα
ἐπύθετο, προσιππεύσας πρὸ τῆς τάξεως ξὺν ὀλίγοις τῶν ἑταί-
ρων ἀπαντᾷ τῷ Πώρῳ· καὶ ἐπιστήσας τὸν ἵππον τό τε μέγε-
θος ἐθαύμαζεν, ὑπὲρ πέντε πήχεις μάλιστα ξυμβαῖνον, καὶ τὸ
κάλλος τοῦ Πώρου καὶ ὅτι οὐ δεδουλωμένος τῇ γνώμῃ ἐφαί-
νετο, ἀλλ' ὥσπερ ἂν ἀνὴρ ἀγαθὸς ἀνδρὶ ἀγαθῷ προσέλθοι
ὑπὲρ βασιλείας τῆς αὐτοῦ πρὸς βασιλέα ἄλλον καλῶς ἠγω-
νισμένος. Ἔνθα δὴ 'Αλέξανδρος πρῶτος προσειπὼν αὐτὸν 2
λέγειν ἐκέλευσεν ὅ τι οἱ γενέσθαι ἐθέλοι. Πῶρον δὲ ἀποκρί-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νασθαι λόγος, ὅτι « βασιλικῶς μοι χρῆσαι, ὦ Ἀλέξανδρε ». Καὶ Ἀλέξανδρος ἡσθεὶς τῷ λόγῳ « τοῦτο μὲν ἔσται σοι, ὦ Πῶρε », ἔφη, « ἐμοῦ ἕνεκα· σὺ δὲ σαυτοῦ ἕνεκα ὅ τι σοὶ φί-
3 λον ἀξίου ». Ὁ δὲ πάντα ἔφη ἐν τούτῳ ἐνεῖναι. Καὶ Ἀλέξανδρος τούτῳ ἔτι μᾶλλον τῷ λόγῳ ἡσθεὶς τήν τε ἀρχὴν τῷ Πώρῳ τῶν τε αὐτοῦ Ἰνδῶν ἔδωκε καὶ ἄλλην ἔτι χώραν πρὸς τῇ πάλαι οὔσῃ πλείονα τῆς πρόσθεν προσέθηκε· καὶ οὕτως αὐτός τε βασιλικῶς κεχρημένος ἦν ἀνδρὶ ἀγαθῷ καὶ ἐκείνῳ ἐκ τούτου ἐς ἅπαντα πιστῷ ἐχρήσατο. Τοῦτο τὸ τέλος τῇ μάχῃ τῇ πρὸς Πῶρόν τε καὶ τοὺς ἐπ' ἐκεῖνα τοῦ Ὑδάσπου ποταμοῦ Ἰνδοὺς Ἀλεξάνδρῳ ἐγένετο.

*[ Ἀπὸ τὸν Ὑδάσπην ὁ Ἀλέξανδρος πορεύεται πρὸς Α. καὶ διαβὰς τοὺς ποταμοὺς Ἀκεσίνην καὶ Ὑδραώτην φθάνει ἕως τὸν Ὕφασιν ποταμόν. Ἐπειδὴ δὲ οἱ στρατιῶταί του ἀρνοῦνται νὰ βαδίσουν περαιτέρω, ἀποφασίζει νὰ ἐπιστρέψῃ. Ἀφοῦ ἀνήγειρεν ἐπὶ τῆς δυτικῆς ὄχθης τοῦ Ὑφάσιος ποταμοῦ δώδεκα πυργοειδεῖς βωμοὺς πρὸς τιμὴν τῶν δώδεκα Ὀλυμπίων θεῶν καὶ ὡς τὸ ἔσχατον ὅριον τῶν κατακτήσεών του πρὸς ἀνατολάς, ἐπιστρέφει εἰς Νίκαιαν. Ἐκεῖ ἐπιβιβάζεται μὲ τὸν στρατόν του εἰς δύο χιλιάδας πλοῖα, τὰ ὁποῖα ἐν τῷ μεταξὺ ἐναυπηγήθησαν. Δι' αὐτῶν καταπλέει τὸν Ἰνδὸν ποταμόν, ὑποτάσσει τοὺς παραποταμίους λαοὺς καὶ κτίζει νέας πόλεις. Μεταξὺ τῶν κατακτηθέντων λαῶν εἶναι καὶ οἱ Μαλλοί, πολεμικώτατον ἔθνος τῆς Ἰνδικῆς. Ἐξακολουθεῖ τὸν πλοῦν καὶ φθάνει εἰς τὴν πόλιν Πάταλα, ἐκεῖ ὅπου ὁ Ἰνδὸς σχίζεται εἰς δύο βραχίονας καὶ σχηματίζει τὸ Δέλτα. Ἀπ' ἐκεῖ ὁ Ἀλέξανδρος τὸν μὲν Νέαρχον, τὸν ὁποῖον διώρισεν ἀρχηγὸν τοῦ στόλου, διέταξε νὰ ὁδηγήσῃ τὸν στόλον διὰ τοῦ Ἰνδικοῦ ὠκεανοῦ καὶ τοῦ Περσικοῦ κόλπου εἰς τὰς ἐκβολὰς τοῦ Εὐφράτου καὶ τοῦ Τίγρητος, αὐτὸς δὲ ἀποφασίζει νὰ ἐπιστρέψῃ διὰ τῆς ἀμμώδους καὶ ἀνύδρου Γαδρωσίας. Πράγματι κατ' Αὔγουστον τοῦ 325 ἀναχωρεῖ ἐκ Πατάλων καὶ φθάνει εἰς τὴν χώραν τῶν Ὠρειτῶν. Ἐκεῖ κτίζει τὴν ἐν Ὠρείταις Ἀλεξάνδρειαν, τὴν ὁποίαν καθιστᾷ πρωτεύουσαν τῆς χώρας ἐκείνης ].*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ

### Πορεία διὰ τῆς Γαδρωσίας ἐρήμου.

### ( Κεφ. 23 - 26 )

XXIII. Ἔνθεν δὲ διὰ τῆς Γαδρωσῶν χώρας ᾔει ὁδὸν χαλεπὴν καὶ ἄπορον τῶν ἐπιτηδείων, τῶν τ' ἄλλων καὶ ὕδωρ πολλαχοῦ τῇ στρατιᾷ οὐκ ἦν· ἀλλὰ νύκτωρ ἠναγκάζοντο τὴν πολλὴν πορεύεσθαι καὶ προσωτέρω ἀπὸ θαλάσσης, ἐπεὶ αὐτῷ γ' ἐν σπουδῇ ἦν ἐλθεῖν τὰ παρὰ τὴν θάλασσαν τῆς χώρας καὶ λιμένας τ' ἰδεῖν τοὺς ὄντας καί, ὅσα γ' ἐν παρόδῳ δυνατὰ γένοιτο, τῷ ναυτικῷ παρασκευάσαι, ἢ φρέατα ὀρύξαντας ἢ ἀγορᾶς που ἢ ὅρμου ἐπιμεληθέντας. Ἀλλ' ἦν γὰρ ἔρημα
παντάπασιν τὰ πρὸς τῇ θαλάσσῃ τῆς Γαδρωσῶν γῆς, ὁ δὲ 2
Θόαντα τὸν Μανδροδώρου καταπέμπει ἐπὶ θάλασσαν ξὺν ὀλίγοις ἱππεῦσι, κατασκεψόμενον, εἴ πού τις ὅρμος ὢν τυγχάνει ταύτῃ ἢ ὕδωρ οὐ πόρρω ἀπὸ θαλάσσης ἤ τι ἄλλο τῶν
ἐπιτηδείων. Καὶ οὗτος ἐπανελθὼν ἀπήγγειλεν ἁλιέας τινὰς 3
καταλαβεῖν ἐπὶ τοῦ αἰγιαλοῦ ἐν καλύβαις πνιγηραῖς· πεποιῆσθαι δὲ τὰς καλύβας ξυνθέντας τὰς κόγχας· στέγην δ' εἶναι αὐταῖς τὰς ἀκάνθας τῶν ἰχθύων· καὶ τούτους τοὺς ἁλιέας ὕδατι ὀλίγῳ διαχρῆσθαι χαλεπῶς διαμωμένους τὸν κάχληκα, καὶ οὐδὲ πάντη γλυκεῖ τῷ ὕδατι.

Ὡς δ' ἀφίκετο Ἀλέξανδρος ἔς χῶρόν τινα τῆς Γαδρω- 4
σίας, ἵνα ἀφθονώτερος ἦν σῖτος, διανέμει ἐς τὰ ὑποζύγια τὸν καταληφθέντα καὶ τοῦτον σημηνάμενος τῇ ἑαυτοῦ σφραγῖδι κατακομίζεσθαι κελεύει ὡς ἐπὶ θάλασσαν. Ἐν ᾧ δ' ᾔει ὡς ἐπὶ τὸν σταθμόν, ἔνθενπερ ἐγγυτάτω ἦν ἡ θάλασσα, ἐν τούτῳ ὀλίγα φροντίσαντες οἱ στρατιῶται τῆς σφραγῖδος αὐ-



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοί τε οἱ φύλακες τῷ σίτῳ ἐχρήσαντο, καὶ ὅσοι μάλιστα λι-
5 μῷ ἐπιέζοντο, καὶ τούτοις μετέδωκαν. Ἐς τοσόνδε γὰρ πρὸς
τοῦ κακοῦ ἐνικῶντο, ὡς τὸν πρόδηλον καὶ παρόντα ἤδη ὄλε-
θρον τοῦ ἀφανοῦς τε καὶ πρόσω ἔτι ὄντος ἐκ τοῦ βασιλέως
κινδύνου ξὺν λογισμῷ ἔδοξέ σφισιν ἔμπροσθεν ποιήσασθαι.
Καὶ Ἀλέξανδρος καταμαθὼν τὴν ἀνάγκην ξυνέγνω τοῖς
πράξασιν. Αὐτὸς δέ, ὅσα ἐκ τῆς χώρας ἐπιδραμὼν ξυναγα-
γεῖν ἠδυνήθη ἐς ἐπισιτισμὸν τῇ στρατιᾷ τῇ περιπλεούσῃ ξὺν
τῷ στόλῳ, ταῦτα κομίσοντα πέμπει Κρηθέα τὸν Καλλατια-
6 νόν. Καὶ τοῖς ἐγχωρίοις προσετάχθη ἐκ τῶν ἄνω τόπων σῖ-
τόν τε, ὅσον δυνατοὶ ἦσαν, κατακομίσαι ἀλέσαντας καὶ τὰς
βαλάνους τὰς τῶν φοινίκων καὶ πρόβατα ἐς ἀγορὰν τῷ στρα-
τῷ. Καὶ ἐς ἄλλον αὖ τόπον Τήλεφον κατέπεμψε τῶν ἑταί-
ρων ξὺν σίτῳ οὐ πολλῷ ἀληλεσμένῳ.

XXIV. Αὐτὸς δὲ προὐχώρει ὡς ἐς τὰ βασίλεια τῶν Γα-
δρωσῶν, ὁ δὲ χῶρος Ποῦρα ὀνομάζεται, ἵναπερ ἀφίκετο ἐξ
Ὤρων ὁρμηθεὶς ἐν ἡμέραις ταῖς πάσαις ἑξήκοντα. Καὶ λέ-
γουσιν οἱ πολλοὶ τῶν ξυγγραψάντων τὰ ἀμφ' Ἀλέξανδρον
οὐδὲ τὰ ξύμπαντα, ὅσα ἐταλαιπώρησεν αὐτῷ κατὰ τὴν Ἀσίαν
ἡ στρατιά, ξυμβληθῆναι ἄξια εἶναι τοῖς τῇδε πονηθεῖσι πό-
2 νοις. Οὐ μὴν ἀγνοήσαντα Ἀλέξανδρον τῆς ὁδοῦ τὴν χαλε-
πότητα ταύτῃ ἐλθεῖν, ἀλλὰ ἀκούσαντα, ὅτι οὔπω τις πρό-
σθεν διελθὼν ταύτῃ ξὺν στρατιᾷ ἀπεσώθη, ὅτι μὴ Σεμίραμις,
ὅτε ἐξ Ἰνδῶν ἔφυγεν. Καὶ ταύτην δ' ἔλεγον οἱ ἐπιχώριοι ξὺν
εἴκοσι μόνοις τῆς στρατιᾶς ἀποσωθῆναι, Κῦρον δὲ τὸν Καμ-
3 βύσου ξὺν ἑπτὰ μόνοις καὶ τοῦτον. Ἐλθεῖν γὰρ δὴ καὶ Κῦ-
ρον ἐς τοὺς χώρους τούτους ὡς ἐσβαλοῦντα ἐς τὴν Ἰνδῶν
γῆν, φθάσαι δὲ ὑπὸ τῆς ἐρημίας τε καὶ ἀπορίας τῆς ὁδοῦ
ταύτης ἀπολέσαντα τὴν πολλὴν τῆς στρατιᾶς. Καὶ ταῦτα
Ἀλεξάνδρῳ ἐξαγγελλόμενα ἔριν ἐμβαλεῖν πρὸς Κῦρον καὶ Σε-
μίραμιν. Τούτων τ' οὖν ἕνεκα καὶ ἅμα ὡς τῷ ναυτικῷ ἐγγύ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θεν ἐκπορίζεσθαι τὰ ἀναγκαῖα, λέγει Νέαρχος ταύτην τρα-
πῆναι 'Αλέξανδρον.

Τό τ' οὖν καῦμα ἐπιφλέγον καὶ τοῦ ὕδατος τὴν ἀπορίαν 4
πολλὴν τῆς στρατιᾶς διαφθεῖραι καὶ μάλιστα δὴ τὰ ὑποζύ-
για· ταῦτα μὲν πρὸς τοῦ βάθους τε τῆς ψάμμου καὶ τῆς θέρ-
μης, ὅτι κεκαυμένη ἦν, τὰ πολλὰ δὲ καὶ δίψει ἀπόλλυσθαι·
καὶ γὰρ καὶ γηλόφοις ἐπιτυγχάνειν ὑψηλοῖς ψάμμου βαθείας,
οὐ νεναγμένης, ἀλλ' οἵας δέχεσθαι καθάπερ ἐς πηλὸν ἢ ἔτι
μᾶλλον ἐς χιόνα ἀπάτητον ἐπιβαίνοντας. Καὶ ἅμα ἐν ταῖς 5
προσβάσεσί τε καὶ καταβαίνοντας τούς τε ἵππους καὶ τοὺς
ἡμιόνους ἔτι μᾶλλον κακοπαθεῖν τῷ ἀνωμάλῳ τῆς ὁδοῦ καὶ
ἅμα οὐ βεβαίῳ. Τῶν τε σταθμῶν τὰ μήκη πιέσαι οὐχ ἥκι-
στα τὴν στρατιάν· ἀπορία γὰρ ὕδατος οὐ ξυμμέτρους μᾶλ-
λόν τι ἦγε πρὸς ἀνάγκην τὰς πορείας ποιεῖσθαι. 'Οπότε μὲν 6
δὴ τῆς νυκτὸς ἐπελθόντες τὴν ὁδόν, ἥντινα ἀνύσαι ἐχρῆν,
ἕωθεν πρὸς ὕδωρ ἔλθοιεν, οὐ πάντῃ ἐταλαιπωροῦντο· προ-
χωρούσης δὲ τῆς ἡμέρας ὑπὸ μήκους τῆς ὁδοῦ, εἰ ὁδοιπο-
ροῦντες ἔτι ἐγκαταληφθεῖεν, ἐνταῦθα ἂν ἐταλαιπώρουν πρὸς
τοῦ καύματός τε καὶ ἅμα δίψει ἀπαύστῳ ξυνεχόμενοι.

XXV. Τῶν δὲ δὴ ὑποζυγίων πολὺς ὁ φθόρος καὶ ἑκού-
σιος τῇ στρατιᾷ ἐγίγνετο· ξυνιόντες γάρ, ὁπότε ἐπιλείποι
σφᾶς τὰ σιτία, καὶ τῶν ἵππων τοὺς πολλοὺς ἀποσφάζοντες
καὶ τῶν ἡμιόνων τὰ κρέα ἐσιτοῦντο καὶ ἔλεγον δίψει ἀποθα-
νεῖν αὐτοὺς ἢ ὑπὸ καμάτου ἐκλιπόντας· καὶ ὁ τὴν ἀτρέ-
κειαν τοῦ ἔργου ἐξελέγξων ὑπό τε τοῦ πόνου οὐδεὶς ἦν, καὶ
ὅτι ξύμπαντες τὰ αὐτὰ ἡμάρτανον. Καὶ 'Αλέξανδρον μὲν
οὐκ ἐλελήθει τὰ γιγνόμενα, ἴασιν δὲ τῶν παρόντων ἑώρα
τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλόν τι ἢ τὴν ὡς γιγνωσκο-
μένων ἐπιχώρησιν.

Οὔκουν οὐδὲ τοὺς νόσῳ κάμνοντας τῆς στρατιᾶς οὐδὲ 2
τοὺς διὰ κάματον ὑπολειπομένους ἐν ταῖς ὁδοῖς ἄγειν ἔτι ἦν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εὐμαρῶς ἀπορίᾳ τε τῶν ὑποζυγίων καὶ ὅτι τὰς ἁμάξας αὐτοὶ κατέκοπτον, ἀπόρους οὔσας αὐτοῖς ὑπὸ βάθους τῆς ψάμμου ἄγεσθαι, καὶ ὅτι ἐν τοῖς πρώτοις σταθμοῖς διὰ ταῦτα ἐξηναγκάζοντο οὐ τὰς βραχυτάτας ἰέναι τῶν ὁδῶν, ἀλλὰ τὰς εὐπο-
3 ρωτάτας τοῖς ζεύγεσι. Καὶ οὕτως οἱ μὲν νόσῳ κατὰ τὰς ὁδοὺς ὑπελείποντο, οἱ δὲ ὑπὸ καμάτου ἢ καύματος ἢ τῷ δίψει οὐκ ἀντέχοντες, καὶ οὔτε οἱ ἄξοντες ἦσαν οὔτε οἱ μένοντες θεραπεύσοντες· σπουδῇ γὰρ πολλῇ ἐγίγνετο ὁ στόλος, καὶ τῷ ὑπὲρ τοῦ παντὸς προθύμῳ τὸ καθ' ἑκάστους ξὺν ἀνάγκῃ ἠμελεῖτο· οἱ δὲ καὶ ὕπνῳ κάτοχοι κατὰ τὰς ὁδοὺς γενόμενοι, οἷα δὴ νυκτὸς τὸ πολὺ τὰς πορείας ποιούμενοι, ἔπειτα ἐξαναστάντες, οἷς μὲν δύναμις ἔτι ἦν, κατὰ τὰ ἴχνη τῆς στρατιᾶς ἐφομαρτήσαντες ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν· οἱ πολλοὶ δὲ ὥσπερ ἐν πελάγει ἐκπεσόντες ἐν τῇ ψάμμῳ ἀπώλλυντο.

4 Ξηνηνέχθη δὲ τῇ στρατιᾷ καὶ ἄλλο πάθημα, ὃ δὴ οὐχ ἥκιστα ἐπίεσεν αὐτούς τε καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια. Ὕεται γὰρ ἡ Γαδρωσίων γῆ ὑπ' ἀνέμων τῶν ἐτησίων, καθάπερ οὖν καὶ ἡ Ἰνδῶν γῆ, οὐ τὰ πεδία τῶν Γαδρωσίων, ἀλλὰ τὰ ὄρη, ἵναπερ προσφέρονταί τε αἱ νεφέλαι ἐκ τοῦ πνεύματος καὶ ἀναχέονται, οὐχ ὑπερβάλλουσαι τῶν ὀρῶν τὰς κορυφάς.
5 Ὡς δ' ηὐλίσθη ἡ στρατιὰ πρὸς χειμάρρῳ ὀλίγου ὕδατος, αὐτοῦ δὴ ἕνεκα τοῦ ὕδατος, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτός, ἐμπλησθεὶς ὑπὸ τῶν ὄμβρων ὁ χειμάρρους ὁ ταύτῃ ῥέων ἀφανῶν τῇ στρατιᾷ γεγενημένων τῶν ὄμβρων τοσούτῳ ἐπῆλθε τῷ ὕδατι, ὡς γύναια καὶ παιδάρια τὰ πολλὰ τῶν ἑπομένων τῇ στρατιᾷ διαφθεῖραι καὶ τὴν κατασκευὴν τὴν βασιλικὴν ξύμπασαν ἀφανίσαι καὶ τῶν ὑποζυγίων, ὅσα ἀπελείπετο, αὐτοὺς δὲ μόλις καὶ χαλεπῶς ξὺν τοῖς ὅπλοις καὶ οὐδὲ τούτοις πᾶσιν ἀποσωθῆναι.

6 Οἱ πολλοὶ δὲ καὶ πίνοντες, ὁπότε ἐκ καύματός τε καὶ δίψους ὕδατι ἀθρόῳ ἐπιτύχοιεν, πρὸς αὐτοῦ τοῦ ἀπαύστου

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποτοῦ ἀπώλλυντο. Καὶ τούτων 'Αλέξανδρος τὰς στρατοπεδείας οὐ πρὸς τοῖς ὕδασι αὐτοῖς τὸ πολὺ ἐποιεῖτο, ἀλλὰ ἀπέχων ὅσον εἴκοσι σταδίους μάλιστα, ὡς μὴ ἀθρόους ἐμπίπτοντας τῷ ὕδατι αὐτούς τε καὶ τὰ κτήνη ἀπόλλυσθαι καὶ ἅμα τοὺς μάλιστα ἀκράτορας σφῶν ἐπεμβαίνοντας ἐς τὰς πηγὰς ἢ τὰ ῥεύματα διαφθείρειν καὶ τῇ ἄλλῃ στρατιᾷ τὸ ὕδωρ.

XXVI. Ἔνθα δὴ ἔργον καλὸν εἴπερ τι ἄλλο τῶν 'Αλεξάνδρου οὐκ ἔδοξέ μοι ἀφανίσαι, ἢ ἐν τῇδε τῇ χώρᾳ πραχθὲν ἢ ἔτι ἔμπροσθεν ἐν Παραπαμισάδαις, ὡς μετεξέτεροι ἀνέγραψαν. 'Ιέναι μὲν τὴν στρατιὰν διὰ ψάμμου τε καὶ τοῦ καύματος ἤδη ἐπιφλέγοντος, ὅτι πρὸς ὕδωρ ἐχρῆν ἐξανύσαι· τὸ δ' ἦν πρόσθεν τῆς ὁδοῦ· καὶ αὐτόν τ' 'Αλέξανδρον δίψει κατεχόμενον μόλις μὲν καὶ χαλεπῶς, πεζὸν δὲ ὅμως ἡγεῖσθαι· ὥστε καὶ τοὺς ἄλλους στρατιώτας, οἷάπερ φιλεῖ ἐν τῷ τοιῷδε, κουφοτέρως φέρειν τοὺς πόνους ἐν ἰσότητι τῆς ταλαιπωρήσεως. 'Εν δὲ τούτῳ τῶν ψιλῶν τινας κατὰ ζήτησιν 2
ὕδατος ἀποτραπέντας ἀπὸ τῆς στρατιᾶς εὑρεῖν ὕδωρ ξυλλελεγμένον ἔν τινι χαράδρᾳ οὐ βαθείᾳ ὀλίγην καὶ φαύλην πίδακα· καὶ τοῦτο οὖν χαλεπῶς ξυλλέξαντας σπουδῇ ἰέναι παρ' 'Αλέξανδρον, ὡς μέγα δή τι ἀγαθὸν φέροντας· ὡς δ' ἐπέλαζον ἤδη, ἐμβαλόντας ἐς κράνος τὸ ὕδωρ προσενεγκεῖν τῷ βασιλεῖ. Τὸν δὲ λαβεῖν μὲν καὶ ἐπαινέσαι τοὺς κομίσαντας, 3
λαβόντα δ' ἐν ὄψει πάντων ἐκχέαι· καὶ ἐπὶ τῷδε τῷ ἔργῳ ἐς τοσόνδε ἐπιρρωσθῆναι τὴν στρατιὰν ξύμπασαν, ὥστε εἰκάσαι ἄν τινα πότον γενέσθαι πᾶσιν ἐκεῖνο τὸ ὕδωρ τὸ πρὸς 'Αλεξάνδρου ἐκχυθέν. Τοῦτο ἐγώ, εἴπερ τι ἄλλο, τὸ ἔργον ἐς καρτερίαν τε καὶ ἅμα στρατηγίαν ἐπαινῶ 'Αλεξάνδρου.

Ξυνηνέχθη δέ τι καὶ τοιόνδε τῇ στρατιᾷ ἐν τῇ γῇ ἐκείνῃ. 4
Οἱ γὰρ ἡγεμόνες τῆς ὁδοῦ τελευτῶντες οὐκέτι μεμνῆσθαι ἔφασκον τὴν ὁδόν, ἀλλ' ἀφανισθῆναι τὰ σημεῖα αὐτῆς πρὸς τοῦ ἀνέμου ἐπιπνεύσαντος· καὶ οὐ γὰρ εἶναι ἐν τῇ ψάμμῳ πολλῇ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τε καὶ ὁμοίᾳ πάντῃ νενημένῃ, ὅτῳ τεκμηριώσονται τὴν ὁδόν, οὔτ' οὖν δένδρα ξυνήθη παρ' αὐτὴν πεφυκότα, οὔτε τινὰ γήλοφον βέβαιον ἀνεστηκότα· οὐδὲ πρὸς τὰ ἄστρα ἐν νυκτὶ ἢ μεθ' ἡμέραν πρὸς τὸν ἥλιον μεμελετῆσθαί σφισι τὰς πορείας καθάπερ τοῖς ναύταις πρὸς τῶν ἄρκτων τὴν μὲν Φοίνιξι, τὴν ὀλίγην, τὴν δὲ τοῖς ἄλλοις ἀνθρώποις, τὴν μεί-
5 ζονα. Ἔνθα δὴ Ἀλέξανδρον ξυνέντα, ὅτι ἐν ἀριστερᾷ δεῖ ἀποκλίναντα ἄγειν, ἀναλαβόντα ὀλίγους ἅμα οἷ ἱππέας προχωρῆσαι· ὡς δὲ καὶ τούτων οἱ ἵπποι ἐξέκαμνον ὑπὸ τοῦ καύματος, ἀπολιπεῖν καὶ τούτων τοὺς πολλούς, αὐτὸν δὲ ξὺν πέντε τοῖς πᾶσιν ἀφιππάσασθαι καὶ εὑρεῖν τὴν θάλασσαν, διαμησάμενόν τ' αὐτὸν ἐπὶ τοῦ αἰγιαλοῦ τὸν κάχληκα ἐπιτυχεῖν ὕδατι γλυκεῖ καὶ καθαρῷ καὶ οὕτω μετελθεῖν τὴν στρατιὰν πᾶσαν· καὶ ἐς ἑπτὰ ἡμέρας ἰέναι παρὰ τὴν θάλασσαν ὑδρευομένους ἐκ τῆς ἠιόνος. Ἔνθεν δέ, ἤδη γὰρ γιγνώσκειν τὴν ὁδὸν τοὺς ἡγεμόνας, ἐπὶ τῆς μεσογαίας ποιεῖσθαι τὸν στόλον.

*[Ὁ Ἀλέξανδρος ἔπειτα φθάνει εἰς Καρμανίαν μὲ πολλὰς ἀπωλείας. Ἐκεῖ συναντᾶται μὲ τὸν Κράτερον, ὁ ὁποῖος εἶχε διέλθει ἐπιτυχῶς διὰ τῆς Ἀραχωσίας καὶ τῆς Δραγγιανῆς. Ἐπίσης καὶ ὁ Νέαρχος μὲ τὸν στόλον καταφθάνει εἰς τὰς ἀκτὰς τῆς Καρμανίας. Καὶ τὸν μὲν Νέαρχον ὁ Ἀλέξανδρος διατάσσει νὰ συνεχίσῃ τὸν πλοῦν, τὸν δὲ Ἡφαιστίωνα μὲ τὸ μεγαλύτερον μέρος τοῦ στρατεύματος ἀπέστειλεν εἰς τὴν Περσίδα διὰ τῆς παραθαλασσίας ὁδοῦ. Αὐτὸς δὲ πορεύεται εἰς Πασαργάδας, ὅπου ἐπισκέπτεται τὸν τάφον Κύρου τοῦ μεγάλου].*

## Ὁ Ἀλέξανδρος εἰς τὸν τάφον Κύρου τοῦ Μεγάλου.

## (Κεφ. 29)

4 XXIX. Ἐλύπησε δ' Ἀλέξανδρον ἡ παρανομία ἡ ἐς τὸν Κύρου τοῦ Καμβύσου τάφον, ὅτι διορωρυγμένον τε καὶ σεσυλημένον κατέλαβε τοῦ Κύρου τὸν τάφον, ὡς λέγει Ἀρι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στόβουλος. Εἶναι γὰρ ἐν Πασαργάδαις ἐν τῷ παραδείσῳ τῷ
βασιλικῷ Κύρου ἐκείνου τάφον καὶ αὐτὸν ἄλσος πεφυτεῦ-
σθαι δένδρων παντοίων καὶ ὕδατι εἶναι κατάρρυτον καὶ
πόαν βαθεῖαν πεφυκέναι ἐν τῷ λειμῶνι.

Αὐτὸν δὲ τὸν τάφον τὰ κάτω λίθου τετραπέδου ἐς τε- 5
τράγωνον σχῆμα πεποιῆσθαι, ἄνωθεν δὲ οἴκημα ἐπεῖναι λί-
θινον ἐστεγασμένον, θυρίδα ἔχον φέρουσαν εἴσω στενήν, ὡς
μόλις ἂν εἶναι ἑνὶ ἀνδρὶ οὐ μεγάλῳ πολλὰ κακοπαθοῦντι
παρελθεῖν. 'Εν δὲ τῷ οἰκήματι πύελον χρυσῆν κεῖσθαι, ἵνα
τὸ σῶμα τοῦ Κύρου ἐτέθαπτο, καὶ κλίνην ὑπὸ τῇ πυέλῳ·
πόδας δὲ εἶναι τῇ κλίνῃ χρυσοῦς σφυρηλάτους καὶ τάπητα
ἐπίβλημα τῶν Βαβυλωνίων καὶ καυνάκας πορφυροῦς ὑπο-
στρώματα. 'Επεῖναι δὲ καὶ κάνδυς καὶ ἄλλους χιτῶνας τῆς 6
Βαβυλωνίου ἐργασίας. Καὶ ἀναξυρίδες Μηδικαὶ καὶ στολαὶ
ὑακινθινοβαφεῖς λέγει, ὅτι ἔκειντο, αἱ μὲν πορφύρας, αἱ δὲ
ἄλλης καὶ ἄλλης χρόας, καὶ στρεπτοὶ καὶ ἀκινάκαι καὶ ἐνώ-
τια χρυσοῦ τε καὶ λίθων κολλητά, καὶ τράπεζα ἔκειτο. 'Εν
μέσῳ δὲ τῆς κλίνης ἡ πύελος ἔκειτο ἡ τὸ σῶμα τοῦ Κύρου
ἔχουσα.

Εἶναι δὲ ἐντὸς τοῦ περιβόλου πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ 7
τὸν τάφον φερούσῃ οἴκημα σμικρὸν τοῖς Μάγοις πεποιημέ-
νον, οἳ δὴ ἐφύλασσον τὸν Κύρου τάφον ἔτι ἀπὸ Καμβύσου
τοῦ Κύρου, παῖς παρὰ πατρὸς ἐκδεχόμενος τὴν φυλακήν.
Καὶ τούτοις πρόβατόν τε ἐς ἡμέραν ἐδίδοτο ἐκ βασιλέως καὶ
ἀλεύρων τε καὶ οἴνου τεταγμένα καὶ ἵππος κατὰ μῆνα ἐς θυ-
σίαν. 'Επεγέγραπτο δὲ ὁ τάφος Περσικοῖς γράμμασι· καὶ ἐδή- 8
λου περσιστὶ τάδε· ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι
ὁ Καμβύσου, ὁ τὴν ἀρχὴν Πέρσαις κατα-
στησάμενος καὶ τῆς 'Ασίας βασιλεύσας·
μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος.

'Αλέξανδρος δὲ ( ἐπιμελὲς γὰρ ἦν αὐτῷ, ὁπότε ἕλοι Πέρ- 9

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σας, παριέναι ἐς τοῦ Κύρου τὸν τάφον ) τὰ μὲν ἄλλα καταλαμβάνει ἐκπεφορημένα πλὴν τῆς πυέλου καὶ τῆς κλίνης· οἱ δὲ καὶ τὸ σῶμα τοῦ Κύρου ἐλωβήσαντο ἀφελόντες τὸ πῶμα τῆς πυέλου καὶ τὸν νεκρὸν ἐξέβαλον· αὐτὴν δὲ τὴν πύελον ἐπειρῶντο εὔογκόν σφισι ποιήσασθαι καὶ ταύτῃ εὔφορον τὰ μὲν παρακόπτοντες, τὰ δὲ ξυνθλῶντες αὐτῆς. Ὡς δὲ οὐ προὐχώρει αὐτοῖς τοῦτο τὸ ἔργον, οὕτω δὴ ἐάσαντες τὴν πύελον ἀπῆλθον.

10 Καὶ λέγει Ἀριστόβουλος αὐτὸς ταχθῆναι πρὸς Ἀλεξάνδρου κοσμῆσαι ἐξ ὑπαρχῆς τῷ Κύρῳ τὸν τάφον. Καὶ τοῦ μὲν σώματος ὅσαπερ ἔτι σῶα ἦν, καταθεῖναι ἐς τὴν πύελον καὶ τὸ πῶμα ἐπιθεῖναι, ὅσα δὲ λελώβητο αὐτῆς, κατορθῶσαι· καὶ τὴν κλίνην ἐντεῖναι ταινίαις καὶ τἆλλα, ὅσα ἐς κόσμον ἔκειτο, κατὰ ἀριθμόν τε καὶ τοῖς πάλαι ὅμοια ἀποθεῖναι καὶ τὴν θυρίδα δὲ ἀφανίσαι τὰ μὲν αὐτῆς λίθῳ ἐνοικοδομήσαντα, τὰ δὲ πηλῷ ἐμπλάσαντα, καὶ ἐπιβαλεῖν τῷ πηλῷ τὸ
11 σημεῖον τὸ βασιλικόν. Ἀλέξανδρος δὲ ξυλλαβὼν τοὺς Μάγους τοὺς φύλακας τοῦ τάφου ἐστρέβλωσεν, ὡς κατειπεῖν τοὺς δράσαντας, οἱ δὲ οὐδὲν οὔτε σφῶν οὔτε ἄλλου κατεῖπον στρεβλούμενοι, οὐδὲ ἄλλῃ πῃ ἐξηλέγχοντο ξυνειδότες τῷ ἔργῳ· καὶ ἐπὶ τῷδε ἀφείθησαν ἐξ Ἀλεξάνδρου.

*[ Ἀπὸ τὰς Πασαργάδας ὁ Ἀλέξανδρος πορεύεται εἰς Περσέπολιν καὶ τέλος εἰς τὰ Σοῦσα ( Φεβρ. 324 ). Μετ' ὀλίγον καταπλέει ἐκεῖ καὶ ὁ Νέαρχος μὲ τὸν στόλον του. Εἰς τὰ Σοῦσα ὁ Ἀλέξανδρος ἠσχολήθη εἰς τὸ δυσχερὲς ἔργον τῆς ἑνώσεως τῶν ἑλληνικῶν καὶ ἀσιατικῶν στοιχείων, διὰ νὰ καταστήσῃ ὁμοιογενέστερον τὸ ἀπέραντον κράτος του. Δίδων πρῶτος τὸ παράδειγμα τῆς ἑνώσεως ταύτης νυμφεύεται τὴν θυγατέρα τοῦ Δαρείου Στάτειραν, πείθει δὲ καὶ ὀγδοήκοντα ἐπιφανεῖς στρατηγοὺς καὶ φίλους του νὰ νυμφευθοῦν Περσίδας εὐγενῶν οἰκογενειῶν. Οἱ γάμοι οὗτοι ἐτελέσθησαν μεγαλοπρεπῶς. Ἐπίσης δέχεται 30.000 Πέρσας ὁπλίτας εἰς τὸν Μακεδονικὸν στρατόν, τοὺς ὁποίους ὥπλισεν ἑλληνικῶς καὶ ὠνόμασεν Ἐ π ι γ ό ν ο υ ς. Ἀπὸ τὰ Σοῦσα κα-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*ταπλέει διὰ τοῦ Εὐλαίου ποταμοῦ εἰς τὸν Περσικὸν κόλπον καὶ ἔπειτα διὰ τοῦ Τίγρητος φθάνει εἰς τὴν πόλιν Ὦπιν. Ἐκεῖ ὁ Ἀλέξανδρος δοκιμάζει μεγάλην πικρίαν, διότι οἱ στρατιῶταί του στασιάζουν, παραπονούμενοι διὰ τὴν εὔνοιαν, τὴν ὁποίαν δεικνύει πρὸς τοὺς Πέρσας. Ὁ Ἀλέξανδρος ἐκφωνεῖ δριμὺν λόγον ὑπενθυμίζων ὅσα ὁ πατήρ του καὶ αὐτὸς ἔπραξαν ὑπὲρ τῶν Μακεδόνων καὶ ἐν τέλει μὲ τὴν σθεναρὰν στάσιν του ἀναγκάζει τοὺς Μακεδόνας νὰ ζητήσουν δακρύοντες συγγνώμην. Ὁ βασιλεὺς μεγαλοψύχως φερόμενος συγχωρεῖ ὅλους. Τέλος δὲ μὲ θυσίαν καὶ κοινὴν ἑστίασιν Ἑλλήνων καὶ Περσῶν ἑορτάζεται ἡ συμφιλίωσις. Μετὰ τοῦτο 10 χιλ. Μακεδόνες, ἀνίκανοι διὰ πόλεμον, δέχονται νὰ ἐπιστρέψουν εἰς τὴν πατρίδα των. Ἀποστέλλει δὲ αὐτοὺς ὑπὸ τὴν ὁδηγίαν τοῦ πιστοῦ εἰς αὐτὸν στρατηγοῦ Κρατέρου, ἀφοῦ τοὺς ἔδωσε μισθὸν μέχρι τῆς ἀφίξεώς των καὶ ἀνὰ ἓν τάλαντον ὡς δῶρον.*

*Ἔπειτα ὁ Ἀλέξανδρος συνεχίζει τὴν πορείαν του καὶ φθάνει εἰς τὰ Ἐκβάτανα τῆς Μηδίας, ὅπου ἐτέλεσε μεγαλοπρεπεῖς ἀγῶνας καὶ ἑορτάς. Ἀλλ' ἐν τῷ μέσῳ αὐτῶν ἀποθνῄσκει ὁ στρατηγὸς Ἡφαιστίων, ἐπιστήθιος καὶ ἀγαπητότατος φίλος του. Ὁ θάνατος τούτου κατέθλιψε βαθύτατα τὸν βασιλέα. Ὁ νεκρὸς μετεκομίσθη εἰς Βαβυλῶνα καὶ ἐτάφη ἐκεῖ μὲ μεγαλοπρέπειαν. Μετ' ὀλίγον ἦλθεν εἰς Βαβυλῶνα καὶ ὁ Ἀλέξανδρος, ὅπου ἐδέχθη πρεσβείας ἀπὸ ὅλα τὰ μέρη τοῦ κόσμου, διὰ νὰ τὸν συγχαροῦν διὰ τὰ κατορθώματά του. Εἶχε πλέον φθάσει εἰς τὸ ὕψιστον σημεῖον δόξης καὶ δυνάμεως. Ἐπεδόθη εἰς τὴν διαρρύθμισιν τοῦ ἀχανοῦς κράτους του καὶ ἐσχεδίαζε νὰ περιπλεύσῃ τὴν Ἀραβίαν καὶ νὰ ὁλοκληρώσῃ τὴν θαλασσίαν ὁδόν, ἡ ὁποία συνενώνει τὸν Ἰνδὸν μὲ τὸν Εὐφράτην. Ἀλλ' ἐνῷ ἤρχισε τὰς μεγάλας παρασκευὰς διὰ τὴν ἐκστρατείαν ταύτην, ἦλθεν ἡ μοιραία ὥρα. Ὁ Ἀλέξανδρος ἠσθένησε βαρέως καὶ τὴν ὀγδόην ἡμέραν τῆς ἀσθενείας του ἀπέθανε ( 323 ) ].*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ

## Χαρακτηρισμὸς τοῦ Ἀλεξάνδρου.

## (Ἐπίλογος τοῦ συγγραφέως. Κεφ. 28 - 30).

XXVIII. Ἐτελεύτα μὲν δὴ Ἀλέξανδρος τῇ τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ Ὀλυμπιάδι ἐφ' Ἡγησίου ἄρχοντος Ἀθήνησιν· ἐβίω δὲ δύο καὶ τριάκοντα ἔτη καὶ τοῦ τρίτου μῆνας ἐπέλαβεν ὀκτώ, ὡς λέγει Ἀριστόβουλος· ἐβασίλευσε δὲ δώδεκα ἔτη καὶ τοὺς ὀκτὼ τούτους μῆνας, τό τε σῶμα κάλλιστος καὶ φιλοπονώτατος καὶ ὀξύτατος τὴν γνώμην γενόμενος καὶ ἀνδρειότατος καὶ φιλοτιμότατος καὶ φιλοκινδυνότατος καὶ τοῦ θείου ἐπιμελέστατος· ἡδονῶν δὲ τῶν μὲν τοῦ
2 σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης ἀπληστότατος· ξυνιδεῖν δὲ τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινότατος, καὶ ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος, καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι τε καὶ κοσμῆσαι δαημονέστατος· καὶ τὸν θυμὸν τοῖς στρατιώταις ἐπᾶραι καὶ ἐλπίδων ἀγαθῶν ἐμπλῆσαι καὶ τὸ δεῖμα ἐν τοῖς κινδύνοις τῷ ἀδεεῖ τῷ
3 αὑτοῦ ἀφανίσαι, ξύμπαντα ταῦτα γενναιότατος. Καὶ οὖν καὶ ὅσα ἐν τῷ ἐμφανεῖ πρᾶξαι, ξὺν μεγίστῳ θάρσει ἔπραξεν· ὅσα τε φθάσας ὑφαρπάσαι τῶν πολεμίων, πρὶν καὶ δεῖσαί τινα αὐτὰ ὡς ἐσόμενα, προλαβεῖν δεινότατος· καὶ τὰ μὲν ξυντεθέντα ἢ ὁμολογηθέντα φυλάξαι βεβαιότατος, πρὸς δὲ τῶν ἐξαπατώντων μὴ ἁλῶναι ἀσφαλέστατος· χρημάτων τ' ἐς μὲν ἡδονὰς τὰς αὑτοῦ φειδωλότατος, ἐς δ' εὐποιίαν τῶν πέλας ἀφθονώτατος.

*[Διατί κατὰ τὸν συγγραφέα δὲν πρέπει νὰ κρίνωμεν τὸν ᾿Αλέξανδρον ἐκ μεμονωμένων πράξεων, ἀλλ' ἐκ τοῦ ὅλου ἔργου του; Πῶς κρίνει τοῦτο ὁ ᾿Αρριανός; Πῶς φαίνεται ἡ ἀμεροληψία τοῦ συγγραφέως; Ποῦ ἀποδίδει οὗτος τὴν μεγάλην ἀποστολὴν τοῦ ᾿Αλεξάνδρου ἐν τῷ κόσμῳ; Ποῖα ἀποτελέσματα ἔφερε τὸ ἔργον τοῦ ᾿Αλεξάνδρου διὰ τὸν πολιτισμὸν τῆς ἀνθρωπότητος;]*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



Εἰκὼν 1. Τύπος ὁπλίτου τοῦ Μ. Ἀλεξάνδρου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής




Εἰκὼν 2. Διάγραμμα δεικνύον τὰς θέσεις τῶν στρατῶν κατὰ τὴν μάχην τοῦ Γρανικοῦ (Μάϊος – Ἰούνιος 334 π.Χ.)

α. Θεσσαλοὶ ἱππεῖς.
β Σύμμαχοι ἱππεῖς.
γ. Θρᾷκες ἱππεῖς.
δ. Φάλαγγες Κρατέρου, Μελεάγρου καὶ Φιλίππου.
ε. Ὑπασπισταί.
ζ. Ἑταῖροι ἱππεῖς.
η. Ἴλη τοῦ Σωκράτους.
θ. Σαρισσοφόροι καὶ Παίονες ἱππεῖς.
ι. Τοξόται καὶ Ἀγριᾶνες ἀκοντισταί.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής




Εἰκὼν 3. Σχεδιάγραμμα τῆς μάχης τῆς Ἰσσοῦ (333 π. Χ.).

α. Θεσσαλοὶ ἱππεῖς.
β. Πελοποννήσιοι ἱππεῖς.
γ. Σύμμαχοι ἱππεῖς.
δ. Κρῆτες τοξόται.
ε. Θρᾷκες τοξόται.
ζ. Φάλαγξ.
η. Ὑπασπισταί.
θ. Ἑταῖροι ἱππεῖς.
ι. Πρωτόμαχος.
κ. Ἀρίστων.
λ. Ἀντίοχος.
μ. Ἄτταλος.
ν. Ἀγριᾶνες καὶ Ἕλληνες μισθοφόροι.

ξ. Περοίδας.
ο. Παντόρδανος.
π. Ἕλληνες μισθοφόροι ἐν ἐφεδρείᾳ.

ρ. Κάρδακες.
σ. Ἕλληνες.
τ. Κάρδακες.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής




Εἰκὼν 4. Διάγραμμα τῆς μάχης τῶν Γαυγαμήλων (1 Ὀκτωβρίου 331 π. Χ.) δεικνύον τὰς θέσεις τοῦ στρατοῦ τοῦ Μ. Ἀλεξάνδρου ὑπὸ διαφόρους στρατηγούς.

α. Ἄτταλος (Ἀγριᾶνες).
β. Βρίσων (Μακεδόνες τοξόται).
γ. Κλέανδρος (ἀρχαῖοι ξένοι).
δ. Ἀρέτης (πρόδρομοι ἱππεῖς)
ε. Ἀρίστων (Παίονες).
ζ. Μενίδας (μισθοφόροι ἱππεῖς).
η. Σιτάλκης (Θρᾶκες πεζοί).
θ. Κοίρανος (σύμμαχοι ἱππεῖς).
ι. Ἀγάθων (Ὀδρύσαι ἱππεῖς).
κ. Ἀνδρόμαχος (μισθοφόροι ἱππεῖς)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής


ΧΑΡΤΗΣ
ΤΟΥ ΚΡΑΤΟΥΣ ΤΟΥ
Μ. ΑΛΕΞΑΝΔΡΟΥ
(323 Π.Χ.)
Κλίμαξ 1:3.300.000
Χιλιόμετρα
Στάδια
Πορείαι Μ. Ἀλεξάνδρου
» στρατηγῶν
ΕΥΞΕΙΝΟΣ ΠΟΝΤΟΣ
ΚΑΣΠΙΑ ΘΑΛΑΣΣΑ
ΜΕΣΟΓΕΙΟΣ ΘΑΛΑΣΣΑ
ΩΞΕΙΑΝΗ ΛΙΜΝΗ
ΜΑΙΩΤΙΣ Λ.
ΛΙΒΥΗ
ΑΡΑΒΙΑ
ΑΙΓΥΠΤΟΣ
ΑΡΑΒΙΚΟΣ ΚΟΛΠ.
ΠΕΡΣΙΚΟΣ ΚΟΛΠ.
ΙΝΔΙΚΗ ΕΡΥΘΡΑ ΘΑΛΑΣΣΑ
ΙΝΔΙΚΗ
ΓΕΔΡΩΣΙΑ
ΚΑΡΜΑΝΙΑ
ΠΕΡΣΙΣ
ΜΗΔΙΑ
ΑΡΜΕΝΙΑ
ΚΑΠΠΑΔΟΚΙΑ
ΠΑΦΛΑΓΟΝΙΑ
ΒΙΘΥΝΙΑ
ΜΑΚΕΔΟΝΙΑ
ΘΡΑΚΗ
ΠΕΛΟΠΟΝΝΗΣΟΣ
ΚΡΗΤΗ
ΚΥΠΡΟΣ
ΚΙΛΙΚΙΑ
ΠΙΣΙΔΙΑ
ΛΥΚΙΑ
ΜΕΣΟΠΟΤΑΜΙΑ
ΒΑΒΥΛΩΝΙΑ
ΑΣΣΥΡΙΑ
ΚΟΣΣΑΙΟΙ
ΠΑΡΘΙΑ
ΥΡΚΑΝΙΑ
ΑΡΕΙΑ
ΔΡΑΓΓΙΑΝΗ
ΑΡΑΧΩΣΙΑ
ΒΑΚΤΡΙΑΝΗ
ΣΟΓΔΙΑΝΗ
ΧΟΡΑΣΜΙΟΙ
ΜΑΣΣΑΓΕΤΑΙ
ΣΚΥΘΑΙ
ΑΒΙΟΙ ΣΚΥΘΑΙ
ΚΑΥΚΑΣΟΣ
ΑΛΒΑΝΟΙ
ΚΑΔΟΥΣΙΟΙ
ΦΑΣΙΑΝΟΙ
ΠΑΡΑΙΤΑΚΑΙ
ΠΑΡΟΠΑΜΙΣΟΣ ὄρ.
ΓΑΝΔΑΡΙΤΙΣ
ΑΒΑΣΤΑΝΟΙ
ΩΡΕΙΤΑΙ
ΖΑΡΑΓΓΟΙ
ΟΞΥΔΡΑΚΑΙ
ΜΑΛΛΟΙ
ΒΑΣΙΛΕΙΟΝ ΑΒΙΣΑΡΟΥ
ΝΙΚΑΙΑ
Βουκεφαλα
Πέλλα
Βαβυλών
Σοῦσα
Ἐκβάτανα
Περσέπολις
Ἀλεξάνδρεια
Μέμφις
Ἡλιούπολις
Ἄμμων
Γάζα
Τύρος
Σιδών
Δαμασκός
Ταρσός
Ἰσσός
Γόρδιον
Σάρδεις
Μίλητος
Ἄβυδος
Θῆβαι
Συήνη
Ἄρβηλα
Γαυγάμηλα
Ὦπις
Ῥάγαι
Κάσπιαι πύλαι
Ζαριάσπα
Βάκτρα
Μαράκανδα
Ἀρμόζεια
Πούρα
Κάρμανα
Προφθασία
Πάταλα
Τάναϊς
Ἴστρος π.
Ἴαξάρτης ἢ Τάναϊς
Ὦξος
Ἀράξης π.
Τίγρις
Εὐφράτης
Ἰνδός
Νείλος π.
Ὑδάσπης
Νεάρχου πλοῦς
Ταῦρος
Σινώπη
Τραπεζοῦς
Βυζάντιον
Κόρινθος
Σπάρτη
Ῥόδος
Παραιτόνιον
Κάνωβος
Ναύκρατις
Πηλούσιον
Ἱερουσαλήμ
Θάψακος
Μαρδοι
Ταπουροι
Ζαδράκαρτα
Ἑκατόμπυλος
Ἀρτακόανα
Ἀσπάδανα
Παραιτακηνή
Οὔξιοι
Σαγγαλα
Ἄορνος
Ταξίλαι
Μαλλοί
Πάτταλα
Μακέτα ἄκρα
Κῶφος λιμήν
Τύλος Ν.
40 45 50 55 60 65 70 75 80 85 90
25 30 35 40

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής




Εἰκὼν 5. Διάγραμμα τῆς μάχης τῶν Γαυγαμήλων δεικνύον τὴν πρώτην ἐπίθεσιν τοῦ Μ. Ἀλεξάνδρου κατὰ τοῦ ἄκρου ἀριστεροῦ τοῦ περσικοῦ στρατεύματος (πρώτη φάσις τῆς μάχης).




Εἰκὼν 6. Διάγραμμα τῆς μάχης τῶν Γαυγαμήλων δεικνύον τὴν τακτικὴν τῶν διεισδύσεων τοῦ στρατοῦ τοῦ Μ. Ἀλεξάνδρου (δευτέρα φάσις τῆς μάχης).

Σημείωσις: Ἐπεξηγήσεις τῶν γραμμάτων βλ. εἰς εἰκόνα 4.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



’Αργυροῦν τετράδραχμον τοῦ Μ. ’Αλεξάνδρου



Χρυσοῦς στατὴρ τοῦ Μ. ’Αλεξάνδρου.

Εἰκὼν 7. Νομίσματα Μ. ’Αλεξάνδρου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



Εἰκὼν 8. Ἡ μάχη τοῦ Ἰσσοῦ. ( Ψηφιδωτὸν τῆς Πομπηΐας )

ΑΛΕΞΑΝΔΡΟΣ ΚΑΙ ΔΑΡΕΙΟΣ ΑΝΤΙΜΕΤΩΠΟΙ

Εἰς τὴν εἰκόνα φαίνεται ἀριστερὰ ἔφιππος ὁ Ἀλέξανδρος, καθ' ἣν στιγμὴν ὁρμᾷ κατὰ τοῦ Δαρείου, ὁ ὁποῖος μὲ ζωηρὰς χειρονομίας ζητεῖ ἀπεγνωσμένως βοήθειαν ἀπὸ τοὺς περὶ αὐτόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΑΙ
## (ΕΚΛΟΓΑΙ)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΥΡΙΑΚΟΥ ΚΟΣΜΑ

# ΗΡΟΔΟΤΟΥ ΙΣΤΟΡΙΑΙ

(ΕΚΛΟΓΑΙ)




ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΣΧΟΛΙΚΩΝ ΒΙΒΛΙΩΝ
ΕΝ ΑΘΗΝΑΙΣ 1956

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής




Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΕΙΣΑΓΩΓΗ

## 1. Βίος Ἡροδότου.

Ὁ Ἡρόδοτος, υἱὸς τοῦ Λύξου καὶ τῆς Δρυοῦς, ἐγεννήθη περὶ τὸ 484 π. Χ. ἐν τῇ Ἁλικαρνασσῷ τῆς Καρίας, ἡ ὁποία ἦτο δωρικὴ ἀποικία. Κατήγετο ἐξ ἐπιφανοῦς καὶ εὐπόρου οἰκογενείας.

Ὁ Ἡρόδοτος ἔτυχε λαμπρᾶς ἐκπαιδεύσεως. Ἔχων ὡς διδάσκαλον τὸν θεῖόν του ποιητὴν Πανύασιν ἐδιδάχθη τὸν Ὅμηρον καὶ ἐμελέτησε τὰ ἔργα τῶν πρώτων Ἑλλήνων ἱστοριογράφων, τῶν καλουμένων λογογράφων, οἱ ὁποῖοι συνέγραφον γεωγραφικὰς περιηγήσεις ἢ ἱστορίας πόλεων ἢ γενῶν κατὰ τοὺς μύθους καὶ τὰς παραδόσεις τοῦ ἑλληνικοῦ λαοῦ.

Ἐν τῇ Ἁλικαρνασσῷ τύραννος κατὰ τὴν ἐποχὴν ἐκείνην ἦτο ὁ Λύγδαμις, ἔγγονος τῆς βασιλίσσης Ἀρτεμισίας, ἡ ὁποία συνεπολέμησε μετὰ τοῦ Ξέρξου ἐν Σαλαμῖνι. Κατὰ τοῦ τυράννου τούτου ἐγένετο στάσις, τῆς ὁποίας μετέσχε καὶ ὁ Ἡρόδοτος· ἀλλ' ἡ στάσις ἀπέτυχε καὶ ὁ Ἡρόδοτος ἠναγκάσθη νὰ καταφύγῃ εἰς τὴν τότε ἀκμάζουσαν νῆσον Σάμον. Βραδύτερον, πιθανῶς τὸ 454, ἐπανελθὼν εἰς τὴν Ἁλικαρνασσὸν κατώρθωσε μὲν νὰ ἐκδιώξῃ τὸν τύραννον Λύγδαμιν, ἀλλ', ἐπειδὴ ἐξερράγησαν νέαι στάσεις, ἐγκατέλιπε διὰ παντὸς τὴν πατρίδα του.

Ποῦ μετὰ τὴν ἀποδημίαν του ἀπῆλθεν ὁ Ἡρόδοτος, δὲν γνωρίζομεν· εὑρίσκομεν ὅμως αὐτὸν τὸ 445 ἐν Ἀθήναις, ὅπου ἀνέγνωσε μέρος τῆς ἱστορίας του, διὰ τοῦ ὁποίου τοσοῦτον συνεκίνησε καὶ ἔτερψε τοὺς Ἀθηναίους, ὥστε ἔδωκαν εἰς αὐτὸν λαμπρὰν δωρεάν, 10 τάλαντα. Ἐν Ἀθήναις συνεδέθη διὰ φιλίας μετὰ τοῦ Περικλέους καὶ ἄλλων σπουδαίων ἀνδρῶν.

Ὅτε δὲ τὸ 444 οἱ Ἀθηναῖοι ἀπῴκισαν ἐν τῇ Κάτω Ἰταλίᾳ τὴν πόλιν Θουρίους, μετέβη καὶ ὁ Ἡρόδοτος εἰς αὐτὴν καὶ ἐγκατεστάθη ἐκεῖ καὶ ἐγένετο ἡ πόλις αὕτη δευτέρα πατρίς του· διὰ τοῦτο καὶ Θούριος ὑπὸ τῶν ἀρχαίων ἐκαλεῖτο.

Ὁ Ἡρόδοτος ἐκ τῆς μελέτης τῶν ἱστοριῶν τῶν λογογρά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φων ᾐσθάνθη τοσοῦτον ἐνθουσιασμόν, ὥστε ἀπεφάσισε καὶ αὐτὸς νὰ συγγράψῃ τὴν ἱστορίαν τῶν πολέμων, τοὺς ὁποίους διεξήγαγον οἱ Ἕλληνες κατὰ τῶν Περσῶν. Θέλων δὲ νὰ γνωρίσῃ ἐξ ἰδίας αὐτοψίας τὰ πράγματα ἐπεχείρησε μακρὰς περιηγήσεις εἰς διαφόρους μεμακρυσμένας χώρας. Ἡ συγκοινωνία τότε ἦτο ἀτελεστάτη καὶ λίαν ἐπικίνδυνος· ἐν τούτοις μὲ μεγάλους κόπους καὶ κινδύνους ἐπεσκέφθη τὴν Μ. Ἀσίαν καὶ τὴν Αἴγυπτον μέχρι τῆς Ἐλεφαντίνης πόλεως· τὴν Λιβύην, τὴν Φοινίκην, τὴν Βαβυλωνίαν, τὴν Περσίαν καὶ τὰς ἑλληνικὰς ἀποικίας τοῦ Κιμμερίου Βοσπόρου· τὴν γειτονικὴν μὲ αὐτὰς Σκυθίαν καὶ τὴν Κολχίδα. Περιῆλθε πρὸς τούτοις ἀνὰ τὴν Ἑλλάδα καὶ διέτριψεν εἰς πολλὰς αὐτῆς πόλεις καθὼς καὶ τῆς κάτω Ἰταλίας καὶ Σικελίας.

Ποῦ καὶ πότε ἀπέθανεν ὁ Ἡρόδοτος εἶναι ἄγνωστον· κατὰ πᾶσαν πιθανότητα ἀπέθανε τὸ 424 ἐν Θουρίοις.

### 2. Τὸ ἱστορικὸν ἔργον τοῦ Ἡροδότου.

Τὸ ἱστορικὸν ἔργον τοῦ Ἡροδότου, τὸ ὁποῖον ἐπόρισεν εἰς αὐτὸν τὸν τιμητικὸν τίτλον τοῦ πατρὸς τῆς ἱστορίας, διῃρέθη ὑπὸ τῶν μεταγενεστέρων εἰς ἐννέα βιβλία, ἕκαστον τῶν ὁποίων ὠνομάσθη μὲ τὸ ὄνομα μιᾶς τῶν ἐννέα Μουσῶν. Ἐν αὐτῷ περιέχεται πλοῦτος γνώσεων ἱστορικῶν, γεωγραφικῶν, φυσικῶν, ἀρχαιολογικῶν κλπ., ἀλλ' ἡ κυρία ἰδέα, περὶ τὴν ὁποίαν πλέκονται πᾶσαι αἱ ἄλλαι γνώσεις, εἶναι οἱ πόλεμοι τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων.

Τοῦ ἔργου του προτάσσει ὁ Ἡρόδοτος βραχεῖαν εἰσαγωγὴν (κεφ. 1 - 5), ἐν τῇ ὁποίᾳ δηλοῖ τὸν σκοπὸν τῆς ὑπ' αὐτοῦ συγγραφῆς τοῦ ἱστορικοῦ του ἔργου καθὼς καὶ τὰ αἴτια τῆς μεταξὺ Ἑλλήνων καὶ βαρβάρων ἔχθρας· ταῦτα ἂν καὶ ἀνάγει μέχρι τῶν μυθικῶν χρόνων, ἐν τούτοις ἀναφέρει, ὅτι πρώτη καὶ κυρία ἱστορικὴ ἀφορμὴ τῆς ἔχθρας ὑπῆρξεν ἡ ὑποταγὴ τῶν ἐν τῇ Μ. Ἀσίᾳ ἑλληνικῶν πόλεων ὑπὸ τοῦ βασιλέως τῆς Λυδίας Κροίσου. Ἐκ τούτου λαβὼν ἀφορμὴν διηγεῖται ἐν τῷ πρώτῳ βιβλίῳ περὶ τῶν βασιλέων τῆς Λυδίας καὶ ἰδίως περὶ τοῦ Κροίσου, τὸν ὁποῖον ὑπέταξεν ὁ βασιλεὺς τῶν Περσῶν Κῦρος. Κα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τόπιν ἱστορεῖ, πῶς τὸ περσικὸν κράτος προῆλθεν ἐκ τοῦ μηδικοῦ καὶ πῶς ὁ Κῦρος βαθμηδὸν ηὔξησεν αὐτὸ μὲ τὴν ὑποδούλωσιν τῶν λαῶν τῆς Μ. 'Ασίας, ἔπειτα δὲ καὶ τοῦ μεγάλου καὶ πλουσίου κράτους τῶν Βαβυλωνίων. 'Εν τῷ μεταξὺ δὲ καὶ ἐφ' ὅσον οἱ Πέρσαι ἔρχονται εἰς ἐπικοινωνίαν μὲ κάθε ἄλλο ἔθνος γράφει τὰ τῆς ἱστορίας, τὰ τῶν ἠθῶν καὶ ἐθίμων αὐτοῦ.

Μετὰ τὸν Κῦρον μεταβαίνει εἰς τὸν υἱὸν καὶ διάδοχον αὐτοῦ Καμβύσην. 'Η ἐκστρατεία τοῦ Καμβύσου κατὰ τῆς Αἰγύπτου δίδει ἀφορμὴν εἰς τὸν 'Ηρόδοτον νὰ περιγράψῃ ἐκτενῶς ἐν τῷ δ ε υ τ έ ρ ῳ βιβλίῳ τὴν χώραν ταύτην καὶ τοὺς κατοίκους αὐτῆς μὲ τὰ ἤθη, τὸν πολιτισμὸν καὶ τὰ μνημεῖα αὐτῶν.

'Εν τῷ τ ρ ί τ ῳ βιβλίῳ ἐπανέρχεται εἰς τὴν περσικὴν ἱστορίαν. Διηγεῖται ἐν αὐτῷ τὴν ὑποταγὴν τῆς Αἰγύπτου, Λιβύης, Κυρήνης, τὸν θάνατον τοῦ Καμβύσου, τὴν κυριαρχίαν τοῦ Ψευδοσμέρδιος, τὴν εἰς τὸν θρόνον ἀνάβασιν τοῦ Δαρείου, τὴν ὑπὸ τούτου κοπιώδη ὀργάνωσιν τοῦ κράτους, καὶ ἐνδιατρίβει ἐν τῇ ἱστορίᾳ τοῦ τυράννου τῆς Σάμου Πολυκράτους.

'Εν τῷ τ ε τ ά ρ τ ῳ βιβλίῳ πραγματεύεται τὰ τῆς ἐκστρατείας τοῦ Δαρείου ἐναντίον τῶν Σκυθῶν. 'Ιστορῶν δὲ τὰ τῆς Σκυθίας παρενθέτει κατόπιν τὰ τῆς ἐκστρατείας τῶν Περσῶν εἰς τὴν Κυρηναϊκὴν χερσόνησον ἐν 'Αφρικῇ καὶ περιγράφει τὰ εἰς αὐτὸν γνωστὰ ἔθνη τῆς Λιβύης.

'Αρχίζων ἔπειτα τὸ π έ μ π τ ο ν βιβλίον διηγεῖται τὰς κατακτήσεις τῶν Περσῶν εἰς τὴν Εὐρώπην ( Θρᾴκης, Μακεδονίας ) καὶ τὴν μεγάλην ἐπανάστασιν τῶν 'Ιώνων. Τὴν ἐπανάστασιν αὐτὴν παρουσιάζει ὡς εἰσαγωγὴν καὶ ὡς ἀφετηρίαν τοῦ μεγάλου ἀγῶνος τῶν Περσῶν ἐναντίον τῆς 'Ελλάδος.

'Εν τῷ ἕ κ τ ῳ βιβλίῳ περιγράφει τὴν καταστολὴν τῆς ἐπαναστάσεως τῶν 'Ιώνων, τὴν ἀποτυχίαν τῆς ἐκστρατείας τοῦ Μαρδονίου κατὰ τῆς 'Ελλάδος καὶ τὴν ἧτταν τοῦ Δάτιδος καὶ 'Αρταφέρνους ἐν Μαραθῶνι.

'Εν τοῖς λοιποῖς βιβλίοις ( ἑβδόμῳ, ὀγδόῳ καὶ ἐνάτῳ ) ἱστορεῖ τὴν ἐκστρατείαν τοῦ Ξέρξου κατὰ τῆς 'Ελλάδος. 'Εν τῷ ἑ β δ ό μ ῳ βιβλίῳ περιγράφει κατὰ πρῶτον τὰ πρὸς τὸν πόλεμον συμβούλια καὶ τὰς μεγάλας προπαρασκευὰς τοῦ Ξέρξου· κατόπιν τὰ διάφορα ἔθνη, τὰ ὁποῖα συνῆλθον διὰ τὴν ἐκστρα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τείαν, τὴν καταγωγήν των καὶ τοὺς ὁπλισμούς των· τελευταῖον τὴν διὰ τῆς Μ. Ἀσίας, Θρᾴκης, Μακεδονίας καὶ Θεσσαλίας πορείαν τοῦ περσικοῦ στρατοῦ καὶ τὴν ἐν Θερμοπύλαις μάχην.

Ἐν τῷ ὀγδόῳ βιβλίῳ ἀρχίζει ἀπὸ τὰς ναυμαχίας τοῦ Ἀρτεμισίου. Ἔπειτα διηγεῖται τὰς ἐν Ἑλλάδι δῃώσεις τῶν Περσῶν, τὴν ἐν Σαλαμῖνι ναυμαχίαν καὶ τὴν φυγὴν τοῦ Ξέρξου.

Τέλος ἐν τῷ ἐνάτῳ βιβλίῳ περιγράφει τὴν ἐν Πλαταιαῖς μάχην, τὴν ἐν Μυκάλῃ καὶ ὅλα τὰ ἄλλα κατορθώματα τῶν Ἑλλήνων μέχρι τῆς ἁλώσεως τῆς Σηστοῦ ( 478 ).

Τοιοῦτο περιληπτικῶς τὸ περιεχόμενον τοῦ ἱστορικοῦ ἔργου τοῦ Ἡροδότου.

Ὁ Ἡρόδοτος, ἂν καὶ Δωριεύς, ἔγραψε τὸ ἔργον του εἰς τὴν ἰωνικὴν διάλεκτον καὶ ὄχι εἰς τὴν δωρικήν· εἰς τοῦτο ἠναγκάσθη, διότι οἱ πρὸ αὐτοῦ λογογράφοι, πάντες σχεδὸν Ἴωνες, εἶχον μεταχειρισθῆ τὴν ἰωνικὴν διάλεκτον ὡς γλῶσσαν τῶν συγγραφῶν των.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



## ΜΕΡΟΣ Α′

---

# ΚΕΙΜΕΝΟΝ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φασί →



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

## ΚΛΕΙΩ

### 1. Εἰσαγωγή: Σκοπὸς τῆς ὑπὸ τοῦ Ἡροδότου συγγραφῆς τοῦ ἱστορικοῦ του ἔργου. — Πρῶται ἀφορμαὶ τῆς μεταξὺ Ἑλλήνων καὶ βαρβάρων ἔχθρας.

(Κεφ. 1 - 5)

1 Ἡροδότου Ἁλικαρνησσέος ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωμαστά, τὰ μὲν Ἕλλησι, τὰ δὲ βαρβάροισι ἀποδεχθέντα, ἀκλεᾶ γένηται, τά τε ἄλλα καὶ δι' ἣν αἰτίην ἐπολέμησαν ἀλλήλοισι.

Περσέων μέν νυν οἱ λόγιοι Φοίνικας αἰτίους φασὶ γενέσθαι τῆς διαφορῆς· τούτους γὰρ ἀπὸ τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασσαν καὶ οἰκήσαντας τοῦτον τὸν χῶρον, τὸν καὶ νῦν οἰκέουσι, αὐτίκα ναυτιλίῃσι μακρῇσι ἐπιθέσθαι, ἀπαγινέοντας δὲ φορτία Αἰγύπτιά τε καὶ Ἀσσύρια τῇ τε ἄλλῃ ἐσαπικνέεσθαι καὶ δὴ καὶ ἐς Ἄργος· τὸ δὲ Ἄργος τοῦτον τὸν χρόνον προεῖχε ἅπασι τῶν πολίων τῶν ἐν τῇ νῦν Ἑλλάδι καλεομένῃ.

Ἀπικομένους δὲ τοὺς Φοίνικας ἐς δὴ τὸ Ἄργος τοῦτο διατίθεσθαι τὸν φόρτον. Πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ, ἀπ' ἧς ἀπίκοντο, ἐξεμπολημένων σφι σχεδὸν πάντων ἐλθεῖν ἐπὶ τὴν θάλασσαν γυναῖκας ἄλλας τε πολλὰς καὶ δὴ καὶ τοῦ βασιλέος θυγατέρα· τὸ δέ οἱ οὔνομα εἶναι Ἰοῦν τὴν Ἰνάχου. Ταύτας στάσας κατὰ πρύμνην τῆς νεὸς ὠνέεσθαι τῶν φορτίων, τῶν



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σφι ἦν θυμὸς μάλιστα, καὶ τοὺς Φοίνικας διακελευσαμένους ὁρμῆσαι ἐπ' αὐτάς. Τὰς μὲν δὴ πλεῦνας τῶν γυναικῶν ἀποφυγεῖν, τὴν δὲ Ἰοῦν σὺν ἄλλῃσι ἁρπασθῆναι· ἐσβαλομένους δὲ ἐς τὴν νέα οἴχεσθαι ἀποπλέοντας ἐπ' Αἰγύπτου.

2 Οὕτω μὲν Ἰοῦν ἐς Αἴγυπτον ἀπικέσθαι λέγουσι Πέρσαι καὶ τῶν ἀδικημάτων πρῶτον τοῦτο ἄρξαι· μετὰ δὲ ταῦτα Ἑλλήνων τινὰς ( οὐ γὰρ ἔχουσι τοὔνομα ἀπηγήσασθαι ) φασὶ τῆς Φοινίκης ἐς Τύρον προσσχόντας ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Εὐρώπην· εἴησαν δ' ἂν οὗτοι Κρῆτες. Ταῦτα μὲν δὴ ἴσα πρὸς ἴσα σφι γενέσθαι· μετὰ δὲ ταῦτα Ἕλληνας αἰτίους τῆς δευτέρης ἀδικίης γενέσθαι. Καταπλώσαντας γὰρ μακρῇ νηῒ ἐς Αἶάν τε, τὴν Κολχίδα, καὶ ἐπὶ Φᾶσιν ποταμόν, ἐνθεῦτεν διαπρηξαμένους καὶ τἄλλα, τῶν εἵνεκεν ἀπίκατο, ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Μηδείην. Πέμψαντα δὲ τὸν Κόλχων βασιλέα ἐς τὴν Ἑλλάδα κήρυκα αἰτέειν τε δίκας τῆς ἁρπαγῆς καὶ ἀπαιτέειν τὴν θυγατέρα· τοὺς δὲ ὑποκρίνασθαι, ὡς οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν σφι δίκας τῆς ἁρπαγῆς· οὐδὲ ὦν αὐτοὶ δώσειν ἐκείνοισι.

3 Δευτέρῃ δὲ λέγουσι γενεῇ μετὰ ταῦτα Ἀλέξανδρον, τὸν Πριάμου, ἀκηκοότα ταῦτα ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος δι' ἁρπαγῆς γενέσθαι γυναῖκα, ἐπιστάμενον πάντως, ὅτι οὐ δώσει δίκας· οὐδὲ γὰρ ἐκείνους διδόναι. Οὕτω δὴ ἁρπάσαντος αὐτοῦ Ἑλένην τοῖσι Ἕλλησι δόξαι πρῶτον πέμψαντας ἀγγέλους ἀπαιτέειν τε Ἑλένην καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν. Τοὺς δέ, προϊσχομένων ταῦτα, προφέρειν σφι Μηδείης τὴν ἁρπαγήν, ὡς οὐ δόντες αὐτοὶ δίκας οὐδὲ ἐκδόντες ἀπαιτεόντων βουλοίατό σφι παρ' ἄλλων δίκας γίνεσθαι.

4 Μέχρι μὲν ὦν τούτου ἁρπαγὰς μούνας εἶναι παρ' ἀλλήλων, τὸ δὲ ἀπὸ τούτου Ἕλληνας δὴ μεγάλως αἰτίους γενέσθαι· προτέρους γὰρ ἄρξαι στρατεύεσθαι ἐς τὴν Ἀσίην ἢ σφέας ἐς τὴν Εὐρώπην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οὕτω μὲν Πέρσαι λέγουσι γενέσθαι, καὶ διὰ τὴν Ἰλίου 5
ἅλωσιν εὑρίσκουσι σφίσι ἐοῦσαν τὴν ἀρχὴν τῆς ἔχθρης τῆς
ἐς τούς Ἕλληνας. Ἐγὼ δὲ περὶ μὲν τούτων οὐκ ἔρχομαι ἐρέ-
ων, ὡς οὕτω ἢ ἄλλως κως ταῦτα ἐγένετο, τὸν δὲ οἶδα αὐ-
τὸς πρῶτον ὑπάρξαντα ἀδίκων ἔργων ἐς τούς Ἕλληνας, τοῦ-
τον σημήνας προβήσομαι ἐς τὸ πρόσω τοῦ λόγου ὁμοίως
σμικρὰ καὶ μεγάλα ἄστεα ἀνθρώπων ἐπεξιών. Τὰ γὰρ τὸ
πάλαι μεγάλα ἦν, τὰ πολλὰ αὐτῶν σμικρὰ γέγονε· τὰ δὲ ἐπ'
ἐμεῦ ἦν μεγάλα, πρότερον ἦν σμικρά. Τὴν ἀνθρωπηίην ὦν
ἐπιστάμενος εὐδαιμονίην οὐδαμὰ ἐν τωὐτῷ μένουσαν ἐπιμνή-
σομαι ἀμφοτέρων ὁμοίως.



**2. Κροῖσος καὶ Σόλων.**

**( Κεφ. 6, 28 - 33 )**

Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω, τύ- 6
ραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ
μεσαμβρίης μεταξὺ Συρίων τε καὶ Παφλαγόνων ἐξιεῖ πρὸς
βορέην ἄνεμον ἐς τὸν Εὔξεινον καλεόμενον πόντον. Οὗτος ὁ
Κροῖσος βαρβάρων πρῶτος, τῶν ἡμεῖς ἴδμεν, τούς μὲν κατε-
στρέψατο Ἑλλήνων ἐς φόρου ἀπαγωγήν, τούς δὲ φίλους
προσεποιήσατο. Κατεστρέψατο μὲν Ἴωνάς τε καὶ Αἰολέας
καὶ Δωριέας τούς ἐν τῇ Ἀσίῃ, φίλους δὲ προσεποιήσατο Λα-
κεδαιμονίους. Πρὸ δὲ τῆς Κροίσου ἀρχῆς πάντες Ἕλληνες
ἦσαν ἐλεύθεροι.

Χρόνου δὲ ἐπιγινομένου καὶ κατεστραμμένων σχεδὸν 28
πάντων τῶν ἐντὸς Ἅλυος ποταμοῦ οἰκημένων ( πλὴν γὰρ
Κιλίκων καὶ Λυκίων τούς ἄλλους πάντας ὑπ' ἑωυτῷ εἶχε κα-
ταστρεψάμενος ὁ Κροῖσος ), ἀπικνέονται ἐς Σάρδις ἀκμα- 29
ζούσας πλούτῳ ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταί,
οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες, ὡς ἕκαστος αὐτῶν
ἀπικνέοιτο, καὶ δὴ καὶ Σόλων ἀνὴρ Ἀθηναῖος, ὃς Ἀθηναί-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οισι νόμους κελεύσασι ποιήσας ἀπεδήμησε ἔτεα δέκα κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι, τῶν ἔθετο. Αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο δέκα ἔτεα χρήσεσθαι νόμοισι, τοὺς ἄν σφι Σόλων θῆται.

30 Αὐτῶν δὴ ὦν τούτων καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκεν ἐς Αἴγυπτον ἀπίκετο παρ' Ἄμασιν καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον. Ἀπικόμενος δὲ ἐξεινίζετο ἐν τοῖσι βασιληίοισι ὑπὸ τοῦ Κροίσου· μετὰ δὲ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ κελεύσαντος Κροίσου τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυρούς, καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. Θεησάμενον δέ μιν τὰ πάντα καὶ σκεψάμενον, ὥς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ Κροῖσος τάδε· « Ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας περὶ σέο λόγος ἀπῖκται πολλὸς καὶ σοφίης εἵνεκεν τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν θεωρίης εἵνεκεν ἐπελήλυθας· νῦν ὦν ἵμερος ἐπειρέσθαι μοι ἐπῆλθε, εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον ». Ὁ μὲν ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος ταῦτα ἐπειρώτα.

Σόλων δὲ οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι χρησάμενος λέγει· « Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον ». Ἀποθωμάσας δὲ Κροῖσος τὸ λεχθὲν εἴρετο ἐπιστρεφέως· « Κοίῃ δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον ; » Ὁ δὲ εἶπε· « Τέλλῳ τοῦτο μὲν τῆς πόλιος εὖ ἡκούσης παῖδες ἦσαν καλοί τε κἀγαθοί, καί σφι εἶδε ἅπασι τέκνα ἐκγενόμενα καὶ πάντα παραμείναντα· τοῦτο δὲ τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο· γενομένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι βωθήσας καὶ τροπὴν ποιήσας τῶν πολεμίων ἀπέθανε κάλλιστα, καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ, τῇ περ ἔπεσε, καὶ ἐτίμησαν μεγάλως ».

31 Ὡς δὲ ὁ Σόλων τὰ κατὰ τὸν Τέλλον, πολλά τε καὶ ὄλ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βια, εἴπας προετρέψατο τὸν Κροῖσον, ἐπειρώτα, τίνα δεύτερον μετ᾽ ἐκεῖνον ἴδοι, δοκέων πάγχυ δευτερεῖα γῶν οἴσεσθαι.

Ὁ δὲ εἶπε· « Κλέοβίν τε καὶ Βίτωνα. Τούτοισι γὰρ ἐοῦσι γένος Ἀργείοισι βίος τε ἀρκέων ὑπῆν καὶ πρὸς τούτῳ ῥώμη σώματος τοιήδε· ἀεθλοφόροι τε ἀμφότεροι ὁμοίως ἦσαν, καὶ δὴ καὶ λέγεται ὅδε ὁ λόγος· ἐούσης ὁρτῆς τῇ Ἥρῃ τοῖσι Ἀργείοισι ἔδεε πάντως τὴν μητέρα αὐτῶν ζεύγεϊ κομισθῆναι ἐς τὸ ἱρόν, οἱ δέ σφι βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίνοντο ἐν ὥρῃ· ἐκκληιόμενοι δὲ τῇ ὥρῃ οἱ νεηνίαι ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην εἷλκον τὴν ἅμαξαν, ἐπὶ τῆς ἁμάξης δέ σφι ὠχέετο ἡ μήτηρ, σταδίους δὲ πέντε καὶ τεσσεράκοντα διακομίσαντες ἀπίκοντο ἐς τὸ ἱρόν.

» Ταῦτα δέ σφι ποιήσασι καὶ ὀφθεῖσι ὑπὸ τῆς πανηγύριος τελευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο, διέδεξέ τε ἐν τούτοισι ὁ θεός, ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν. Ἀργεῖοι μὲν γὰρ περιστάντες ἐμακάριζον τῶν νεηνιέων τὴν ῥώμην, αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἐκύρησε. Ἡ δὲ μήτηρ περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλματος εὔχετο Κλεόβι τε καὶ Βίτωνι τοῖσι ἑωυτῆς τέκνοισι, οἵ μιν ἐτίμησαν μεγάλως, τὴν θεὸν δοῦναι τὸ ἀνθρώπῳ τυχεῖν ἄριστόν ἐστι. Μετὰ ταύτην δὲ τὴν εὐχὴν ὡς ἔθυσάν τε καὶ εὐωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νεηνίαι οὐκέτι ἀνέστησαν, ἀλλ᾽ ἐν τέλεϊ τούτῳ ἔσχοντο. Ἀργεῖοι δέ σφεων εἰκόνας ποιησάμενοι ἀνέθεσαν ἐς Δελφοὺς ὡς ἀνδρῶν ἀρίστων γενομένων ».

Σόλων μὲν δὴ εὐδαιμονίης δευτερεῖα ἔνεμε τούτοισι, 32
Κροῖσος δὲ σπερχθεὶς εἶπε· « Ὦ ξεῖνε Ἀθηναῖε, ἡ δὲ ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέρριπται ἐς τὸ μηδέν, ὥστε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας ; » Ὁ δὲ εἶπε· « Ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηίων πρηγμάτων πέρι. Ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν ἔστι ἰδεῖν, τὰ μή τις ἐθέλει, πολλὰ δὲ καὶ παθεῖν. Ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζόης ἀνθρώπῳ προτίθημι. Ἁπασέων δὲ τῶν ἡμερέων τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα ἡ ἑτέρη τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν οὐδὲν ὅμοιον προσάγει πρῆγμα.

» Οὕτω ὦν, ὦ Κροῖσε, πᾶν ἐστι ἄνθρωπος συμφορή. Ἐμοὶ δὲ σὺ καὶ πλουτέειν μέγα φαίνεαι καὶ βασιλεὺς εἶναι πολλῶν ἀνθρώπων· ἐκεῖνο δέ, τὸ εἰρεό με, οὔ κώ σε ἐγὼ λέγω, πρὶν ἂν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι. Οὐ γάρ τι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστι, εἰ μή οἱ τύχη ἐπίσποιτο πάντα καλὰ ἔχοντα τελευτῆσαι εὖ τὸν βίον. Σκοπέειν ὦν χρὴ παντὸς χρήματος τὴν τελευτήν, κῇ ἀποβήσεται· πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς προρρίζους ἀνέτρεψε ».

33 Ταῦτα λέγων τῷ Κροίσῳ οὔ κως ἐχαρίζετο· ὁ δὲ λόγου μιν ποιησάμενος οὐδενὸς ἀποπέμπεται, κάρτα δόξας ἀμαθέα εἶναι, ὃς τὰ παρεόντα ἀγαθὰ μετεὶς τὴν τελευτὴν παντὸς χρήματος ὁρᾶν ἐκέλευε.

*[Ὁ Κροῖσος διαβὰς τὸν Ἅλυν εἰσβάλλει εἰς τὴν Καππαδοκίαν, ἡ ὁποία ἀνῆκεν εἰς τοὺς Πέρσας. Τοῦτο μαθὼν ὁ Κῦρος, ὁ βασιλεὺς τῶν Περσῶν, ἐπέρχεται κατὰ τοῦ Κροίσου· μετὰ πεισματώδη δὲ μάχην τῶν δύο ἀντιπάλων στρατευμάτων ἀναγκάζεται ὁ Κροῖσος νὰ ὑποχωρήσῃ εἰς τὰς Σάρδεις.]*

### 3. Κῦρος καὶ Κροῖσος.
### (Κεφ. 86 - 88)

86 Οἱ δὲ Πέρσαι τάς τε Σάρδις ἔσχον καὶ αὐτὸν Κροῖσον ἐζώγρησαν, ἄρξαντα ἔτεα τεσσερεσκαίδεκα καὶ τεσσερεσκαίδεκα ἡμέρας πολιορκηθέντα, κατὰ τὸ χρηστήριόν τε καταπαύσαντα τὴν ἑωυτοῦ μεγάλην ἀρχήν. Λαβόντες δὲ αὐτὸν οἱ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πέρσαι ἤγαγον παρὰ Κῦρον. Ὁ δὲ συννήσας πυρὴν μεγάλην ἀνεβίβασε ἐπ' αὐτὴν τὸν Κροῖσόν τε ἐν πέδῃσι δεδεμένον καὶ δὶς ἑπτὰ Λυδῶν παρ' αὐτὸν παῖδας, εἴτε δὴ ἐν νόῳ ἔχων ἀκροθίνια ταῦτα καταγιεῖν θεῶν ὅτεῳ δή, εἴτε καὶ εὐχὴν ἐπιτελέσαι θέλων, εἴτε καί, πυθόμενος τὸν Κροῖσον εἶναι θεοσεβέα, τοῦδε εἵνεκεν ἀνεβίβασε ἐπὶ τὴν πυρὴν βουλόμενος εἰδέναι, εἴ τίς μιν δαιμόνων ῥύσεται τοῦ μὴ ζῶντα κατακαυθῆναι.

Τὸν μὲν δὴ ποιέειν ταῦτα· τῷ δὲ Κροίσῳ ἑστεῶτι ἐπὶ τῆς πυρῆς ἐσελθεῖν, καίπερ ἐν κακῷ ἐόντι τοσούτῳ, τὸ τοῦ Σόλωνος, ὥς οἱ εἴη σὺν θεῷ εἰρημένον, τὸ « μηδένα εἶναι τῶν ζωόντων ὄλβιον ». Ὡς δὲ ἄρα μιν προσστῆναι τοῦτο, ἀνενεικάμενόν τε καὶ ἀναστενάξαντα ἐκ πολλῆς ἡσυχίης ἐς τρὶς οὐνομάσαι « Σόλων ». Καὶ τὸν Κῦρον ἀκούσαντα κελεῦσαι τοὺς ἑρμηνέας ἐπειρέσθαι τὸν Κροῖσον, τίνα τοῦτον ἐπικαλέοιτο, καὶ τοὺς προσελθόντας ἐπειρωτᾶν. Κροῖσον δὲ τέως μὲν σιγὴν ἔχειν εἰρωτώμενον, μετὰ δέ, ὡς ἠναγκάζετο, εἰπεῖν· « Τὸν ἂν ἐγὼ πᾶσι τυράννοισι προετίμησα μεγάλων χρημάτων ἐς λόγους ἐλθεῖν ». Ὡς δέ σφι ἄσημα ἔφραζε, πάλιν ἐπειρώτων τὰ λεγόμενα. Λιπαρεόντων δὲ αὐτῶν καὶ ὄχλον παρεχόντων ἔλεγε δή, ὡς ἦλθε ἀρχὴν ὁ Σόλων ἐὼν Ἀθηναῖος, καὶ θεησάμενος πάντα τὸν ἑωυτοῦ ὄλβον ἀποφλαυρίσειε, οἷα δὴ εἴπας, ὥς τε αὐτῷ πάντα ἀποβεβήκοι, τῇ περ ἐκεῖνος εἶπε, οὐδέν τι μᾶλλον ἐς ἑωυτὸν λέγων ἢ ἐς ἅπαν τὸ ἀνθρώπινον καὶ μάλιστα τοὺς παρὰ σφίσι αὐτοῖσι ὀλβίους δοκέοντας εἶναι.

Τὸν μὲν Κροῖσον ταῦτα ἀπηγέεσθαι, τῆς δὲ πυρῆς ἤδη ἁμμένης καίεσθαι τὰ περιέσχατα. Καὶ τὸν Κῦρον ἀκούσαντα τῶν ἑρμηνέων, τὰ εἶπε Κροῖσος, μεταγνόντα τε καὶ ἐννώσαντα, ὅτι καὶ αὐτὸς ἄνθρωπος ἐὼν ἄλλον ἄνθρωπον, γενόμενον ἑωυτοῦ εὐδαιμονίῃ οὐκ ἐλάσσω, ζῶντα πυρὶ διδοίη, πρός τε τούτοισι δείσαντα τὴν τίσιν καὶ ἐπιλεξάμενον, ὡς οὐ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲν εἴη τῶν ἐν ἀνθρώποισι ἀσφαλέως ἔχον, κελεύειν σβεννύναι τὴν ταχίστην τὸ καιόμενον πῦρ καὶ καταβιβάζειν Κροῖσόν τε καὶ τοὺς μετὰ Κροίσου. Καὶ τοὺς πειρωμένους οὐ δύνασθαι ἔτι τοῦ πυρὸς ἐπικρατῆσαι.

87 Ἐνθαῦτα λέγεται ὑπὸ Λυδῶν Κροῖσον μαθόντα τὴν Κύρου μετάγνωσιν, ὡς ὥρα πάντα μὲν ἄνδρα σβεννύντα τὸ πῦρ, δυναμένους δὲ οὐκέτι καταλαβεῖν, ἐπιβώσασθαι τὸν Ἀπόλλωνα ἐπικαλεόμενον, εἴ τί οἱ κεχαρισμένον ἐξ αὐτοῦ ἐδωρήθη, παραστῆναι καὶ ῥύσασθαί μιν ἐκ τοῦ παρεόντος κακοῦ. Τὸν μὲν δακρύοντα ἐπικαλέεσθαι τὸν θεόν, ἐκ δὲ αἰθρίης τε καὶ νηνεμίης συνδραμεῖν ἐξαπίνης νέφεα καὶ χειμῶνά τε καταρραγῆναι καὶ ὗσαι ὕδατι λαβροτάτῳ κατασβεσθῆναί τε τὴν πυρήν. Οὕτω δὴ μαθόντα τὸν Κῦρον, ὡς εἴη ὁ Κροῖσος καὶ θεοφιλὴς καὶ ἀνὴρ ἀγαθός, καταβιβάσαντα αὐτὸν ἀπὸ τῆς πυρῆς εἰρέσθαι τάδε· « Κροῖσε, τίς σε ἀνθρώπων ἀνέγνωσε ἐπὶ γῆν τὴν ἐμὴν στρατευσάμενον πολέμιον ἀντὶ φίλου ἐμοὶ καταστῆναι ; » Ὁ δὲ εἶπε· « Ὦ βασιλεῦ, ἐγὼ ταῦτα ἔπρηξα τῇ σῇ μὲν εὐδαιμονίῃ, τῇ ἐμεωυτοῦ δὲ κακοδαιμονίῃ· αἴτιος δὲ τούτων ἐγένετο ὁ Ἑλλήνων θεὸς ἐπαείρας ἐμὲ στρατεύεσθαι. Οὐδεὶς γὰρ οὕτω ἀνόητός ἐστι, ὅστις πόλεμον πρὸ εἰρήνης αἱρέεται· ἐν μὲν γὰρ τῇ οἱ παῖδες τοὺς πατέρας θάπτουσι, ἐν δὲ τῷ οἱ πατέρες τοὺς παῖδας. Ἀλλὰ ταῦτα δαίμονί κου φίλον ἦν οὕτω γενέσθαι ».

88 Ὁ μὲν ταῦτα ἔλεγε, Κῦρος δὲ αὐτὸν λύσας κάτισέ τε ἐγγὺς ἑωυτοῦ καὶ κάρτα ἐν πολλῇ προμηθίῃ εἶχε, ἀπεθώμαζέ τε ὁρέων καὶ αὐτὸς καὶ οἱ περὶ ἐκεῖνον ἐόντες πάντες.

### 4. Λυδικὰ ἔθιμα. — Ἵδρυσις ἀποικίας ὑπὸ τῶν Λυδῶν εἰς τὴν Τυρρηνίαν (Ἐτρουρίαν).
### (Κεφ. 93-94)

93 Θώματα ἡ Λυδίη ἐς συγγραφὴν οὐ μάλα ἔχει, οἷά γε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ἄλλη χώρη, πάρεξ τοῦ ἐκ τοῦ Τμώλου καταφερομένου ψήγματος. Ἓν δὲ ἔργον πολλὸν μέγιστον παρέχεται χωρὶς τῶν τε Αἰγυπτίων ἔργων καὶ τῶν Βαβυλωνίων· ἔστι αὐτόθι Ἀλυάττεω τοῦ Κροίσου πατρὸς σῆμα, τοῦ ἡ κρηπὶς μέν ἐστι λίθων μεγάλων, τὸ δὲ ἄλλο χῶμα γῆς.

Λυδοὶ δὲ νόμοισι μὲν τοῖσι αὐτοῖσι χρέωνται, τοῖσι καὶ 94
Ἕλληνες, πρῶτοι δὲ ἀνθρώπων, τῶν ἡμεῖς ἴδμεν, νόμισμα χρυσοῦ καὶ ἀργύρου κοψάμενοι ἐχρήσαντο, πρῶτοι δὲ καὶ κάπηλοι ἐγένοντο. Φασὶ δὲ αὐτοὶ Λυδοὶ καὶ τὰς παιγνίας τὰς νῦν σφίσι τε καὶ Ἕλλησι κατεστεώσας ἑωυτῶν ἐξεύρημα γενέσθαι. Ἅμα δὲ ταύτας τε ἐξευρεθῆναι παρὰ σφίσι λέγουσι καὶ Τυρσηνίην ἀποικίσαι, ὧδε περὶ αὐτῶν λέγοντες.

Ἐπὶ βασιλέος Ἄτυος τοῦ Μάνεω σιτοδείην ἰσχυρὴν ἀνὰ τὴν Λυδίην πᾶσαν γενέσθαι· καὶ τοὺς Λυδοὺς τέως μὲν διάγειν λιπαρέοντας, μετὰ δέ, ὡς οὐ παύεσθαι, ἄκεα δίζησθαι, ἄλλον δὲ ἄλλο ἐπιμηχανᾶσθαι αὐτῶν. Ἐξευρεθῆναι δὴ ὦν τότε καὶ τῶν κύβων καὶ τῶν ἀστραγάλων καὶ τῆς σφαίρης τὰς παιγνίας καὶ τῶν ἄλλων πασέων παιγνιέων τὰ εἴδεα πλὴν πεσσῶν· τούτων γὰρ ὦν τὴν ἐξεύρεσιν οὐκ οἰκηιεῦνται Λυδοί. Ποιέειν δὲ ὧδε πρὸς τὸν λιμὸν ἐξευρόντας· τὴν μὲν ἑτέρην τῶν ἡμερέων παίζειν πᾶσαν, ἵνα δὴ μὴ ζητέοιεν σιτία, τὴν δὲ ἑτέρην σιτέεσθαι παυομένους τῶν παιγνιέων. Τοιούτῳ τρόπῳ διάγειν ἐπ' ἔτεα δυῶν δέοντα εἴκοσι.

Ἐπείτε δὲ οὐκ ἀνιέναι τὸ κακόν, ἀλλ' ἔτι ἐπὶ μᾶλλον βιάζεσθαι, οὕτω δὴ τὸν βασιλέα αὐτῶν δύο μοίρας διελόντα Λυδῶν πάντων κληρῶσαι τὴν μὲν ἐπὶ μονῇ, τὴν δ' ἐπὶ ἐξόδῳ ἐκ τῆς χώρης, καὶ ἐπὶ μὲν τῇ μένειν αὐτοῦ λαγχανούσῃ τῶν μοιρέων ἑωυτὸν βασιλέα προστάσσειν, ἐπὶ δὲ τῇ ἀπαλλασσομένῃ τὸν ἑωυτοῦ παῖδα, τῷ οὔνομα εἶναι Τυρσηνόν. Λαχόντας δὲ αὐτῶν τοὺς ἑτέρους ἐξιέναι ἐκ τῆς χώρης καταβῆναι ἐς Σμύρνην καὶ μηχανήσασθαι πλοῖα, ἐς τὰ ἐσθεμέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νους τὰ πάντα, ὅσα σφι ἦν χρηστὰ ἔπιπλα, ἀποπλέειν κατὰ βίου τε καὶ γῆς ζήτησιν, ἐς ὃ ἔθνεα πολλὰ παραμειψαμένους ἀπικέσθαι ἐς 'Ομβρικούς, ἔνθα σφέας ἐνιδρύσασθαι πόλιας καὶ οἰκέειν τὸ μέχρι τοῦδε. 'Αντὶ δὲ Λυδῶν μετονομασθῆναι αὐτοὺς ἐπὶ τοῦ βασιλέος τοῦ παιδός, ὅς σφεας ἀνήγαγε· ἐπὶ τούτου τὴν ἐπωνυμίην ποιευμένους ὀνομασθῆναι Τυρσηνούς.

## 5. Περσικὰ ἔθιμα.

## ( Κεφ. 131 - 138, 140 )

131 Πέρσας δὲ οἶδα νόμοισι τοῖσδε χρεωμένους· ἀγάλματα μὲν καὶ νηοὺς καὶ βωμοὺς οὐκ ἐν νόμῳ ποιευμένους ἱδρύεσθαι, ἀλλὰ καὶ τοῖσι ποιεῦσι μωρίην ἐπιφέροντας, ὡς μὲν ἐμοὶ δοκέειν, ὅτι οὐκ ἀνθρωποφυέας ἐνόμισαν τοὺς θεούς, κατά περ οἱ Ἕλληνες, εἶναι. Οἱ δὲ νομίζουσι Διὶ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν οὐρέων ἀναβαίνοντες θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες. Θύουσι δὲ ἡλίῳ τε καὶ σελήνῃ καὶ γῇ καὶ πυρὶ καὶ ὕδατι καὶ ἀνέμοισι. Τούτοισι μὲν δὴ θύουσι μούνοισι ἀρχῆθεν, ἐπιμεμαθήκασι δὲ καὶ τῇ Οὐρανίῃ θύειν, παρά τε 'Ασσυρίων μαθόντες καὶ 'Αραβίων.
132 Θυσίη δὲ τοῖσι Πέρσῃσι περὶ τοὺς εἰρημένους θεοὺς ἥδε κατέστηκε. Οὔτε βωμοὺς ποιεῦνται οὔτε πῦρ ἀνακαίουσι μέλλοντες θύειν· οὐ σπονδῇ χρέωνται, οὐκὶ αὐλῷ, οὐ στέμμασι, οὐκὶ οὐλῇσι. Τῶν δὲ ὡς ἂν ἑκάστῳ τις θύειν θέλῃ, ἐς χῶρον καθαρὸν ἀγαγὼν τὸ κτῆνος καλέει τὸν θεόν, ἐστεφανωμένος τὸν τιήρην μυρσίνῃ μάλιστα. 'Εωυτῷ μὲν δὴ τῷ θύοντι ἰδίῃ μούνῳ οὔ οἱ ἐγγίνεται ἀρᾶσθαι ἀγαθά, ὁ δὲ πᾶσι τοῖσι Πέρσῃσι κατεύχεται εὖ γίνεσθαι καὶ τῷ βασιλέϊ· ἐν γὰρ δὴ τοῖσι ἅπασι Πέρσῃσι καὶ αὐτὸς γίνεται. 'Επεὰν δὲ διαμιστύλας κατὰ μέρεα τὸ ἱρήιον ἑψήσῃ τὰ κρέα, ὑποπάσας ποίην ὡς ἁπα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λωτάτην, μάλιστα δὲ τὸ τρίφυλλον, ἐπὶ ταύτης ἔθηκε ὦν πάντα τὰ κρέα. Διαθέντος δὲ αὐτοῦ, μάγος ἀνὴρ παρεστεὼς ἐπαείδει θεογονίην, οἵην δὴ ἐκεῖνοι λέγουσι εἶναι τὴν ἐπαοιδήν· ἄνευ γὰρ δὴ μάγου οὔ σφι νόμος ἐστὶ θυσίας ποιέεσθαι. Ἐπισχὼν δὲ ὀλίγον χρόνον ἀποφέρεται ὁ θύσας τὰ κρέα καὶ χρᾶται, ὅ τι μιν λόγος αἱρέει.

Ἡμέρην δὲ ἁπασέων μάλιστα ἐκείνην τιμᾶν νομίζουσι, 133
τῇ ἕκαστος ἐγένετο. Ἐν ταύτῃ δὲ πλέω δαῖτα τῶν ἄλλων δικαιεῦσι προτίθεσθαι· ἐν τῇ οἱ εὐδαίμονες αὐτῶν βοῦν καὶ ἵππον καὶ κάμηλον καὶ ὄνον προτιθέαται ὅλους ὀπτοὺς ἐν καμίνοισι, οἱ δὲ πένητες αὐτῶν τὰ λεπτὰ τῶν προβάτων προτιθέαται. Σίτοισι δὲ ὀλίγοισι χρέωνται, ἐπιφορήμασι δὲ πολλοῖσι καὶ οὐκ ἀλέσι· καὶ διὰ τοῦτό φασι Πέρσαι τοὺς Ἕλληνας σιτεομένους πεινῶντας παύεσθαι, ὅτι σφι ἀπὸ δείπνου παραφορέεται οὐδὲν λόγου ἄξιον, εἰ δέ τι παραφέροιτο ἐσθίοντας ἂν οὐ παύεσθαι. Οἴνῳ δὲ κάρτα προσκέαται, μεθυσκόμενοι δὲ ἐώθασι βουλεύεσθαι τὰ σπουδαιέστατα τῶν πρηγμάτων. Τὸ δ' ἂν ἅδῃ σφι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι προτιθεῖ ὁ στέγαρχος, ἐν τοῦ ἂν ἐόντες βουλεύωνται· καὶ ἢν μὲν ἅδῃ καὶ νήφουσι, χρέωνται αὐτῷ, ἢν δὲ μὴ ἅδῃ, μετιεῖσι· τὰ δ' ἂν νήφοντες προβουλεύσωνται, μεθυσκόμενοι ἐπιδιαγινώσκουσι.

Ἐντυγχάνοντες δ' ἀλλήλοισι ἐν τῇσι ὁδοῖσι, τῷδε ἄν τις 134
διαγνοίη, εἰ ὅμοιοί εἰσι οἱ συντυγχάνοντες· ἀντὶ γὰρ τοῦ προσαγορεύειν ἀλλήλους φιλέουσι τοῖσι στόμασι. Ἢν δὲ ᾖ οὕτερος ὑποδεέστερος ὀλίγῳ, τὰς παρειὰς φιλέονται. Ἢν δὲ πολλῷ ᾖ οὕτερος ἀγεννέστερος, προσπίπτων προσκυνέει τὸν ἕτερον.

Τιμῶσι δὲ ἐκ πάντων τοὺς ἄγχιστα ἑωυτῶν οἰκέοντας 135
μετά γε ἑωυτούς, δεύτερα δὲ τοὺς δευτέρους, μετὰ δὲ κατὰ λόγον προβαίνοντες τιμῶσι· ἥκιστα δὲ τοὺς ἑωυτῶν ἑκα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στάτω οἰκημένους ἐν τιμῇ ἄγονται, νομίζοντες ἑωυτοὺς εἶναι ἀνθρώπων μακρῷ τὰ πάντα ἀρίστους, τοὺς δὲ ἄλλους κατὰ λόγον τὸν λεγόμενον τῆς ἀρετῆς ἀντέχεσθαι, τοὺς δὲ ἑκαστάτω οἰκέοντας ἀπὸ ἑωυτῶν κακίστους εἶναι. Ξεινικὰ δὲ νόμαια Πέρσαι προσίενται ἀνδρῶν μάλιστα. Καὶ γὰρ δὴ τὴν Μηδικὴν ἐσθῆτα νομίσαντες τῆς ἑωυτῶν εἶναι καλλίω φορέουσι καὶ ἐς τοὺς πολέμους τοὺς Αὐγυπτίους θώρηκας.

136 Παιδεύουσι δὲ τοὺς παῖδας ἀπὸ πενταέτεος ἀρξάμενοι
μέχρι εἰκοσαέτεος τρία μοῦνα, ἱππεύειν καὶ τοξεύειν καὶ
ἀληθίζεσθαι. Πρὶν δὲ ἢ πενταέτης γένηται, οὐκ ἀπικνέεται
ἐς ὄψιν τῷ πατρί, ἀλλὰ παρὰ τῇσι γυναιξὶ δίαιταν ἔχει· τοῦδε
δὲ εἵνεκα τοῦτο οὕτω ποιέεται, ἵνα, ἢν ἀποθάνῃ τρεφόμενος,
137 μηδεμίαν ἄσην τῷ πατρὶ προσβάλῃ. Αἰνέω μέν νυν τοῦτον
τὸν νόμον, αἰνέω δὲ καὶ τόνδε, τὸ μὴ μιῆς αἰτίης εἵνεκα μηδὲ
αὐτὸν τὸν βασιλέα μηδένα ἀνήκεστον πάθος ἔρδειν· ἀλλὰ λογισάμενος, ἢν εὑρίσκῃ πλέω τε καὶ μέζω τὰ ἀδικήματα ἐόντα τῶν ὑπουργημάτων, οὕτω τῷ θυμῷ χρᾶται.

138 Ἄσσα δέ σφι ποιέειν οὐκ ἔξεστι, ταῦτα οὐδὲ λέγειν ἔξεστι. Αἴσχιστον δὲ αὐτοῖσι τὸ ψεύδεσθαι νενόμισται, δεύτερα δὲ τὸ ὀφείλειν χρέος, πολλῶν μὲν καὶ ἄλλων εἵνεκα, μάλιστα δὲ ἀναγκαίην φασὶ εἶναι τὸν ὀφείλοντα καί τι ψεῦδος λέγειν. Ἐς ποταμὸν δὲ οὔτε ἐμπτύουσι οὔτε χεῖρας ἐναπονίζονται οὐδὲ ἄλλον οὐδένα περιορῶσι, ἀλλὰ σέβονται τοὺς ποταμοὺς μάλιστα.

140 Ταῦτα μὲν ἀτρεκέως ἔχω περὶ αὐτῶν εἰδὼς εἰπεῖν. Τάδε μέντοι ὡς κρυπτόμενα λέγεται καὶ οὐ σαφηνέως περὶ τοῦ ἀποθανόντος, ὡς οὐ πρότερον θάπτεται ἀνδρὸς Πέρσεω ὁ νέκυς, πρὶν ἂν ὑπ' ὄρνιθος ἢ κυνὸς ἑλκυσθῇ. Μάγους μὲν γὰρ ἀτρεκέως οἶδα ταῦτα ποιέοντας· ἐμφανέως γὰρ δὴ ποιεῦσι. Κατακηρώσαντες δὲ ὦν τὸν νέκυν Πέρσαι γῇ κρύπτουσι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

## ΕΥΤΕΡΠΗ

---

### 1. Ἐκστρατεία τοῦ Καμβύσου κατὰ τῆς Αἰγύπτου. — Ἀπόπειρα τοῦ Ψαμμητίχου, ὅπως ἐξακριβώσῃ, τίνες οἱ πρῶτοι τῶν ἀνθρώπων.

(Κεφ. 1 - 2)

Τελευτήσαντος δὲ Κύρου παρέλαβε τὴν βασιληίην Καμβύσης, Κύρου ἐὼν παῖς καὶ Κασσανδάνης τῆς Φαρνάσπεω θυγατρός, τῆς προαποθανούσης Κῦρος αὐτός τε μέγα πένθος ἐποιήσατο καὶ τοῖσι ἄλλοισι προεῖπε πᾶσι, τῶν ἦρχε, πένθος ποιέεσθαι. Ταύτης δὴ τῆς γυναικὸς ἐὼν παῖς καὶ Κύρου Καμβύσης Ἴωνας μὲν καὶ Αἰολέας ὡς δούλους πατρωίους ἐνόμιζε, ἐπὶ δὲ Αἴγυπτον ἐποιέετο στρατηλασίην, ἄλλους τε παραλαβών, τῶν ἦρχε, καὶ δὴ καὶ Ἑλλήνων, τῶν ἐπεκράτεε. 1

Οἱ δ' Αἰγύπτιοι, πρὶν μὲν ἢ Ψαμμήτιχον σφέων βασιλεῦσαι, ἐνόμιζον ἑωυτοὺς πρώτους γενέσθαι πάντων ἀνθρώπων. Ἐπειδὴ δὴ Ψαμμήτιχος βασιλεύσας ἠθέλησε εἰδέναι, οἵτινες γενοίατο πρῶτοι, ἀπὸ τούτου νομίζουσι Φρύγας προτέρους γενέσθαι ἑωυτῶν, τῶν δὲ ἄλλων ἑωυτούς. Ψαμμήτιχος δέ, ὡς οὐκ ἐδύνατο πυνθανόμενος πόρον οὐδένα τούτου ἀνευρεῖν, ἐπιτεχνᾶται τοιόνδε· παιδία δύο νεογνὰ ἀνθρώπων τῶν ἐπιτυχόντων διδοῖ ποιμένι τρέφειν ἐς τὰ ποίμνια ἐντειλάμενος μηδένα ἀντίον αὐτῶν μηδεμίαν φωνὴν ἱέναι, ἐν στέγῃ δὲ ἐρήμῃ ἐπ' ἑωυτῶν κέεσθαι αὐτὰ καὶ τὴν ὥρην ἐπαγινέειν σφι αἶγας, πλήσαντα δὲ τοῦ γάλακτος τἆλλα 2

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διαπρήσσεσθαι. Ταῦτα δὲ ἐποίεέ τε καὶ ἐνετέλλετο ὁ Ψαμμήτιχος θέλων ἀκοῦσαι τῶν παιδίων, ἀπαλλαχθέντων τῶν ἀσήμων κνυζημάτων, ἥντινα φωνὴν ῥήξουσι πρώτην. Τά περ ὦν καὶ ἐγένετο.

Ὡς γὰρ διέτης χρόνος ἐγεγόνεε ταῦτα τῷ ποιμένι πρήσσοντι, ἀνοίγοντι τὴν θύρην καὶ ἐσιόντι τὰ παιδία ἀμφότερα προσπίπτοντα βεκὸς ἐφώνεον ὀρέγοντα τὰς χεῖρας. Τὰ μὲν δὴ πρῶτα ἀκούσας ἥσυχος ἦν ὁ ποιμήν, ὡς δὲ πολλάκις φοιτέοντι καὶ ἐπιμελομένῳ πολλὸν ἦν τοῦτο τὸ ἔπος, οὕτω δὴ σημήνας τῷ δεσπότῃ ἤγαγε τὰ παιδία κελεύσαντος ἐς ὄψιν τὴν ἐκείνου. Ἀκούσας δὲ καὶ αὐτὸς ὁ Ψαμμήτιχος ἐπυνθάνετο, οἵτινες ἀνθρώπων βεκός τι καλέουσι, πυνθανόμενος δὲ εὕρισκε Φρύγας καλέοντας τὸν ἄρτον. Οὕτω καὶ τοιούτῳ πρήγματι σταθμησάμενοι Αἰγύπτιοι συνεχώρησαν τοὺς Φρύγας πρεσβυτέρους εἶναι ἑωυτῶν. Οὕτω μὲν γενέσθαι τῶν ἱρέων τοῦ Ἡφαίστου τοῦ ἐν Μέμφι ἤκουον. Ἕλληνες δὲ λέγουσι ἄλλα τε μάταια πολλὰ καὶ ὡς γυναικῶν τὰς γλώσσας ὁ Ψαμμήτιχος ἐκταμὼν τὴν δίαιταν οὕτω ἐποιήσατο τῶν παιδίων παρὰ ταύτῃσι τῇσι γυναιξί.

### 2. Φύσις τοῦ ἐδάφους τῆς Αἰγύπτου. — Ἤθη καὶ ἔθιμα τῶν Αἰγυπτίων.

**( Κεφ. 4 - 5, 10 - 12, 35 - 36, 78, 80 )**

4 Βασιλεῦσαι δὲ πρῶτον Αἰγύπτου ἄνθρωπον ἔλεγον Μῖνα. Ἐπὶ τούτου, πλὴν τοῦ Θηβαϊκοῦ νομοῦ, πᾶσαν Αἴγυπτον εἶναι ἕλος, καὶ αὐτῆς εἶναι οὐδὲν ὑπερέχον τῶν νῦν ἔνερθε λίμνης τῆς Μοίριος ἐόντων, ἐς τὴν ἀνάπλοος ἀπὸ θαλάσσης
5 ἑπτὰ ἡμερέων ἐστὶ ἀνὰ τὸν ποταμόν. Καὶ εὖ μοι ἐδόκεον λέγειν περὶ τῆς χώρης. Δῆλα γάρ τινι καὶ μὴ προακούσαντι, ἰδόντι δέ, ὅστις γε σύνεσιν ἔχει, ὅτι Αἴγυπτος, ἐς τὴν Ἕλληνες

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ναυτίλλονται, ἐστὶ Αἰγυπτίοισι ἐπίκτητός τε γῆ καὶ δῶρον τοῦ ποταμοῦ, καὶ τὰ κατύπερθε ἔτι τῆς λίμνης ταύτης μέχρι τριῶν ἡμερέων πλόου ἔστι ἕτερον τοιοῦτο. Αἰγύπτου γὰρ φύσις ἐστὶ τῆς χώρης τοιήδε· προσπλέων, ἔτι καὶ ἡμέρης δρόμον ἀπέχων ἀπὸ γῆς, κατεὶς καταπειρητηρίην πηλόν τε ἀνοίσεις καὶ ἐν ἕνδεκα ὀργυιῇσι ἔσεαι. Τοῦτο ἐπὶ τοσοῦτο δηλοῖ πρόχυσιν τῆς γῆς ἐοῦσαν.

Ταύτης ὦν τῆς χώρης ἡ πολλή, κατά περ οἱ ἱρέες 10
ἔλεγον, ἐδόκεε καὶ αὐτῷ μοι εἶναι ἐπίκτητος Αἰγυπτίοισι. Τῶν γὰρ οὐρέων τῶν ὑπὲρ Μέμφιν πόλιν κειμένων τὸ μεταξὺ ἐφαίνετό μοι εἶναί κοτε κόλπος θαλάσσης, ὥσπερ τά τε περὶ Ἴλιον καὶ Τευθρανίην καὶ Ἔφεσόν τε καὶ Μαιάνδρου πεδίον, ὥς γε εἶναι σμικρὰ ταῦτα μεγάλοισι συμβαλεῖν. Τῶν γὰρ ταῦτα τὰ χωρία προσχωσάντων ποταμῶν ἑνὶ τῶν στομάτων τοῦ Νείλου, ἐόντος πενταστόμου, οὐδεὶς πλήθεος πέρι ἄξιος συμβληθῆναί ἐστι.

Ἔστι δὲ τῆς Ἀραβίης χώρης, Αἰγύπτου δὲ οὐ πρόσω, 11
κόλπος θαλάσσης ἐσέχων ἐκ τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης. Ἕτερον τοιοῦτον κόλπον καὶ τὴν Αἴγυπτον δοκέω γενέσθαι κου· καὶ ὁ μὲν ἐκ τῆς βορηίης θαλάσσης ἐσεῖχε ἐπ' Αἰθιοπίης, ὁ δὲ Ἀράβιος ἐκ τῆς νοτίης ἔφερε ἐπὶ Συρίης. Εἰ ὦν ἐθελήσει ἐκτρέψαι τὸ ῥέεθρον ὁ Νεῖλος ἐς τοῦτον τὸν Ἀράβιον κόλπον, τί μιν κωλύει ῥέοντος τούτου ἐκχωσθῆναι ἐντός γε δισμυρίων ἐτέων ; Ἐγὼ μὲν γὰρ ἔλπομαί γε καὶ μυρίων ἐντὸς χωσθῆναι ἄν. Κοῦ γε δὴ ἐν τῷ προαναισιμωμένῳ χρόνῳ πρότερον ἢ ἐμὲ γενέσθαι οὐκ ἂν χωσθείη κόλπος καὶ πολλῷ μέζων ἔτι τούτου ὑπὸ τοσούτου τε ποταμοῦ καὶ οὕτω ἐργατικοῦ ;

Τὰ περὶ Αἴγυπτον ὦν καὶ τοῖσι λέγουσι αὐτὰ πείθομαι 12
καὶ αὐτὸς οὕτω κάρτα δοκέω εἶναι, ἰδὼν τήν τε Αἴγυπτον προκειμένην τῆς ἐχομένης γῆς κογχύλιά τε φαινόμενα ἐπὶ τοῖσι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὔρεσι καὶ ἅλμην ἐπανθέουσαν, ὥστε καὶ τὰς πυραμίδας δηλέεσθαι, καὶ ψάμμον μοῦνον Αἰγύπτου οὖρος τοῦτο τὸ ὑπὲρ Μέμφιος ἔχον, πρὸς δὲ τῇ χώρῃ οὔτε τῇ 'Αραβίῃ προσούρῳ ἐούσῃ τὴν Αἴγυπτον προσεικέλην οὔτε τῇ Λιβύῃ, οὐ μὲν οὐδὲ τῇ Συρίῃ ( τῆς γὰρ 'Αραβίης τὰ παρὰ θάλασσαν Σύριοι νέμονται ), ἀλλὰ μελάγγαιόν τε καὶ καταρρηγνυμένην ὥστε ἐοῦσαν ἰλύν τε καὶ πρόχυσιν ἐξ Αἰθιοπίης κατενηνειγμένην ὑπὸ τοῦ ποταμοῦ. Τὴν δὲ Λιβύην ἴδμεν ἐρυθροτέρην τε γῆν καὶ ὑποψαμμοτέρην, τὴν δὲ 'Αραβίην τε καὶ Συρίην ἀργιλωδεστέρην τε καὶ ὑπόπετρον ἐοῦσαν.

35 Ἔρχομαι δὲ περὶ Αἰγύπτου μηκυνέων τὸν λόγον, ὅτι πλεῖστα θωμάσια ἔχει καὶ ἔργα λόγου μέζω παρέχεται πρὸς πᾶσαν χώρην· τούτων εἵνεκα πλέω περὶ αὐτῆς εἰρήσεται. Αἰγύπτιοι ἅμα τῷ οὐρανῷ τῷ κατὰ σφέας ἐόντι ἑτεροίῳ καὶ τῷ ποταμῷ φύσιν ἀλλοίην παρεχομένῳ ἢ οἱ ἄλλοι ποταμοί, τὰ πολλὰ πάντα ἔμπαλιν τοῖσι ἄλλοισι ἀνθρώποισι ἐστήσαντο ἤθεά τε καὶ νόμους. 'Εν τοῖσι αἱ μὲν γυναῖκες ἀγοράζουσι καὶ καπηλεύουσι, οἱ δὲ ἄνδρες κατ' οἴκους ἐόντες ὑφαίνουσι· ὑφαίνουσι δὲ οἱ μὲν ἄλλοι ἄνω τὴν κρόκην ὠθέοντες, Αἰγύπτιοι δὲ κάτω. Τὰ ἄχθεα οἱ μὲν ἄνδρες ἐπὶ τῶν κεφαλέων φορέουσι, αἱ δὲ γυναῖκες ἐπὶ τῶν ὤμων.

36 Οἱ ἱρέες τῶν θεῶν τῇ μὲν ἄλλῃ κομῶσι, ἐν Αἰγύπτῳ δὲ ξυρέονται. Τοῖσι ἄλλοισι ἀνθρώποισι νόμος ἅμα κήδεϊ κεκάρθαι τὰς κεφαλάς, ἐς τοὺς μάλιστα ἱκνέεται, Αἰγύπτιοι δὲ ὑπὸ τοὺς θανάτους ἀνιεῖσι τὰς τρίχας αὔξεσθαι τάς τε ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ, τέως ἐξυρημένοι. Τοῖσι μὲν ἄλλοισι ἀνθρώποισι χωρὶς θηρίων ἡ δίαιτα ἀποκέκριται. Αἰγυπτίοισι δὲ ὁμοῦ θηρίοισι ἡ δίαιτά ἐστι. 'Απὸ πυρῶν καὶ κριθέων ὦλλοι ζώουσι, Αἰγυπτίων δὲ τῷ ποιευμένῳ ἀπὸ τούτων τὴν ζόην ὄνειδος μέγιστόν ἐστι, ἀλλὰ ἀπὸ ὀλυρέων ποιεῦνται σιτία, τὰς ζειὰς μετεξέτεροι καλέουσι. Φυρῶσι τὸ μὲν σταῖς τοῖσι ποσί,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν δὲ πηλὸν τῇσι χερσί. Εἵματα τῶν μὲν ἀνδρῶν ἕκαστος ἔχει δύο, τῶν δὲ γυναικῶν ἓν ἑκάστη. Τῶν ἱστίων τοὺς κρίκους καὶ τοὺς κάλους οἱ μὲν ἄλλοι ἔξωθεν προσδέουσι, Αἰγύπτιοι δὲ ἔσωθεν. Γράμματα γράφουσι καὶ λογίζονται ψήφοισι Ἕλληνες μὲν ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ φέροντες τὴν χεῖρα, Αἰγύπτιοι δὲ ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά· καὶ ποιεῦντες ταῦτα αὐτοὶ μέν φασι ἐπὶ δεξιὰ ποιέειν, Ἕλληνας δὲ ἐπ' ἀριστερά. Διφασίοισι δὲ γράμμασι χρέωνται, καὶ τὰ μὲν αὐτῶν ἱρά, τὰ δὲ δημοτικὰ καλέεται.

Ἐν δὲ τῇσι συνουσίῃσι τοῖσι εὐδαίμοσι αὐτῶν, ἐπεὰν ἀπὸ 78
δείπνου γένωνται, περιφέρει ἀνὴρ νεκρὸν ἐν σορῷ ξύλινον, μεμιμημένον ἐς τὰ μάλιστα καὶ γραφῇ καὶ ἔργῳ, μέγαθος ὅσον τε πηχυαῖον ἢ δίπηχυν· δεικνὺς δὲ ἑκάστῳ τῶν συμποτέων λέγει· « Ἐς τοῦτον ὁρέων πῖνέ τε καὶ τέρπευ· ἔσεαι γὰρ ἀποθανὼν τοιοῦτος ».

Πατρίοισι δὲ χρεώμενοι νόμοισι ἄλλον οὐδένα ἐπικτῶν- 80
ται. Συμφέρονται δὲ τόδε Ἑλλήνων μούνοισι Λακεδαιμονίοισι· οἱ νεώτεροι αὐτῶν τοῖσι πρεσβυτέροισι συντυγχάνοντες εἴκουσι τῆς ὁδοῦ καὶ ἐκτράπονται· καὶ ἐπιοῦσι ἐξ ἕδρης ὑπανιστέαται. Τόδε μέντοι ἄλλοισι οὐδαμοῖσι συμφέρονται· ἀντὶ τοῦ προσαγορεύειν ἀλλήλους ἐν τῇσι ὁδοῖσι προσκυνέουσι κατιέντες μέχρι τοῦ γούνατος τὴν χεῖρα.

### 3. Ἄμασις.
### ( Κεφ. 177 - 179 )

Ἐπ' Ἀμάσιος βασιλέος λέγεται Αἴγυπτος μάλιστα δὴ 177
τότε εὐδαιμονῆσαι καὶ τὰ ἀπὸ τοῦ ποταμοῦ τῇ χώρῃ γινόμενα καὶ τὰ ἀπὸ τῆς χώρης τοῖσι ἀνθρώποισι, καὶ πόλις ἐν αὐτῇ γενέσθαι τὰς ἁπάσας τότε δισμυρίας τὰς οἰκεομένας. Νόμον τε Αἰγυπτίοισι τόνδε Ἄμασίς ἐστι ὁ καταστήσας, ἀποδεικνύναι ἔτεος ἑκάστου τῷ νομάρχῃ πάντα τινὰ Αἰγυπτίων, ὅθεν βι-



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὖται· μὴ δὲ ποιεῦντα ταῦτα μηδὲ ἀποφαίνοντα δικαίην ζόην ἰθύνεσθαι θανάτῳ. Σόλων δὲ ὁ Ἀθηναῖος λαβὼν ἐξ Αἰγύπτου τοῦτον τὸν νόμον Ἀθηναίοισι ἔθετο· τῷ ἐκεῖνοι ἐς αἰεὶ χρέωνται, ἐόντι ἀμώμῳ νόμῳ.

178 Φιλέλλην δὲ γενόμενος ὁ Ἄμασις ἄλλα τε ἐς Ἑλλήνων μετεξετέρους ἀπεδέξατο, καὶ δὴ καὶ τοῖσι ἀπικνεομένοισι ἐς Αἴγυπτον ἔδωκε Ναύκρατιν πόλιν ἐνοικῆσαι· τοῖσι δὲ μὴ βουλομένοισι αὐτῶν οἰκέειν, αὐτοῦ δὲ ναυτιλλομένοισι ἔδωκε χώρους ἐνιδρύσασθαι βωμοὺς καὶ τεμένεα θεοῖσι. Τὸ μέν νυν μέγιστον αὐτῶν τέμενος καὶ οὐνομαστότατον ἐὸν καὶ χρησιμώτατον, καλεόμενον δὲ Ἑλλήνιον, αἵδε πόλιές εἰσι αἱ ἱδρυμέναι κοινῇ, Ἰώνων μὲν Χίος καὶ Τέως καὶ Φώκαια καὶ Κλαζομεναί, Δωριέων δὲ Ῥόδος καὶ Κνίδος καὶ Ἁλικαρνησσὸς καὶ Φάσηλις, Αἰολέων δὲ Μυτιληναίων μούνη. Τούτων μέν ἐστι τοῦτο τὸ τέμενος, καὶ προστάτας τοῦ ἐμπορίου αὗται αἱ πόλιές εἰσι αἱ παρέχουσαι· ὅσαι δὲ ἄλλαι πόλιες μεταποιεῦνται, οὐδέν σφι μετεὸν μεταποιεῦνται. Χωρὶς δὲ Αἰγινῆται ἐπὶ ἑωυτῶν ἱδρύσαντο τέμενος Διός, καὶ ἄλλο Σάμιοι Ἥρης καὶ Μιλήσιοι Ἀπόλλωνος.

179 Ἦν δὲ τὸ παλαιὸν μούνη ἡ Ναύκρατις ἐμπόριον καὶ ἄλλο οὐδὲν Αἰγύπτου. Εἰ δέ τις ἐς τῶν τι ἄλλο στομάτων τοῦ Νείλου ἀπίκοιτο, χρῆν ὀμόσαι μὴ μὲν ἑκόντα ἐλθεῖν, ἀπομόσαντα δὲ τῇ νηὶ αὐτῇ πλέειν ἐς τὸ Κανωβικόν· ἢ εἰ μή γε οἷά τε εἴη πρὸς ἀνέμους ἀντίους πλέειν, τὰ φορτία ἔδεε περιάγειν ἐν βάρισι περὶ τὸ Δέλτα, μέχρι οὗ ἀπίκοιτο ἐς Ναύκρατιν. Οὕτω μὲν δὴ Ναύκρατις ἐτετίμητο. Κυρηναίοισι δὲ Ἄμασις φιλότητά τε καὶ συμμαχίην συνεθήκατο. Ἀνέθηκε δὲ καὶ ἀναθήματα ὁ Ἄμασις ἐς τὴν Ἑλλάδα.

---

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

## ΘΑΛΕΙΑ

*[Ὁ Καμβύσης νικᾷ τὸν υἱὸν καὶ διάδοχον τοῦ Ἀμάσιος Ψαμμήνιτον παρὰ τὸ Πηλούσιον — πόλιν τῆς Αἰγύπτου ἐν τῷ Δέλτα — καὶ ἀναγκάζει αὐτὸν ν' ἀποσυρθῇ μετὰ τοῦ στρατοῦ του εἰς τὴν Μέμφιν· πολιορκήσας δὲ αὐτὴν καὶ κυριεύσας συλλαμβάνει τὸν Ψαμμήνιτον αἰχμάλωτον.]*

### 1. Καμβύσης καὶ Ψαμμήνιτος.

**(Κεφ. 14 - 15)**

Ἡμέρῃ δὲ δεκάτῃ, ἀπ' ἧς παρέλαβε τὸ τεῖχος τὸ ἐν 14
Μέμφι Καμβύσης, κατίσας ἐς τὸ προάστειον τὸν βασιλέα τῶν Αἰγυπτίων Ψαμμήνιτον, βασιλεύσαντα μῆνας ἕξ, τοῦτον κατίσας σὺν ἄλλοισι Αἰγυπτίοισι διεπειρᾶτο αὐτοῦ τῆς ψυχῆς ποιέων τοιάδε· στείλας αὐτοῦ τὴν θυγατέρα ἐσθῆτι δουληίῃ ἐξέπεμπε ἐπ' ὕδωρ ἔχουσαν ὑδρήιον, συνέπεμπε δὲ καὶ ἄλλας παρθένους ἀπολέξας ἀνδρῶν τῶν πρώτων, ὁμοίως ἐσταλμένας τῇ τοῦ βασιλέος. Ὡς δὲ βοῇ τε καὶ κλαυθμῷ παρήισαν αἱ παρθένοι παρὰ τοὺς πατέρας, οἱ μὲν ἄλλοι πάντες ἀνεβόων τε καὶ ἀντέκλαιον ὁρέοντες τὰ τέκνα κεκακωμένα, ὁ δὲ Ψαμμήνιτος προϊδὼν καὶ μαθὼν ἔκυψε ἐς τὴν γῆν.

Παρελθουσέων δὲ τῶν ὑδροφόρων, δεύτερα αὐτοῦ τὸν παῖδα ἔπεμπε μετ' ἄλλων Αἰγυπτίων δισχιλίων τὴν αὐτὴν ἡλικίην ἐχόντων, τούς τε αὐχένας κάλῳ δεδεμένους καὶ τὰ στόματα ἐγκεχαλινωμένους. Ἤγοντο δὲ ποινὴν τείσοντες

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μυτιληναίων τοῖσι ἐν Μέμφι ἀπολομένοισι σὺν τῇ νηΐ· ταῦτα γὰρ ἐδίκασαν οἱ βασιλήιοι δικασταί, ὑπὲρ ἀνδρὸς ἑκάστου δέκα Αἰγυπτίων τῶν πρώτων ἀνταπόλλυσθαι. Ὁ δὲ ἰδὼν παρεξιόντας καὶ μαθὼν τὸν παῖδα ἀγόμενον ἐπὶ θάνατον, τῶν ἄλλων Αἰγυπτίων τῶν περικατημένων αὐτὸν κλαιόντων καὶ δεινὰ ποιεύντων, τωὐτὸ ἐποίησε, τὸ ἐπὶ τῇ θυγατρί.

Παρελθόντων δὲ καὶ τούτων, συνήνεικε ὥστε τῶν συμποτέων αὐτοῦ ἄνδρα ἀπηλικέστερον, ἐκπεπτωκότα ἐκ τῶν ἐόντων ἔχοντά τε οὐδέν, εἰ μὴ ὅσα πτωχός, καὶ προσαιτέοντα τὴν στρατιήν, παριέναι Ψαμμήνιτόν τε τὸν Ἀμάσιος καὶ τοὺς ἐν τῷ προαστείῳ κατημένους τῶν Αἰγυπτίων. Ὁ δὲ Ψαμμήνιτος ὡς εἶδε, ἀνακλαύσας μέγα καὶ καλέσας ὀνομαστὶ τὸν ἑταῖρον ἐπλήξατο τὴν κεφαλήν. Ἦσαν δ' ἄρα αὐτοῦ φύλακοι, οἳ τὸ ποιεύμενον πᾶν ἐξ ἐκείνου ἐπ' ἑκάστῃ ἐξόδῳ Καμβύσῃ ἐσήμαινον.

Θωμάσας δὲ ὁ Καμβύσης τὰ ποιεύμενα πέμψας ἄγγελον εἰρώτα αὐτὸν λέγων τάδε· « Δεσπότης σε Καμβύσης, Ψαμμήνιτε, εἰρωτᾷ, διότι δὴ τὴν μὲν θυγατέρα ὁρέων κεκακωμένην καὶ τὸν παῖδα ἐπὶ θάνατον στείχοντα οὔτε ἀνέβωσας οὔτε ἀπέκλαυσας, τὸν δὲ πτωχὸν οὐδέν σοι προσήκοντα, ὡς ἄλλων πυνθάνεται, ἐτίμησας ; » Ὁ μὲν δὴ ταῦτα ἐπειρώτα, ὁ δ' ἀμείβετο τοῖσδε· « Ὦ παῖ Κύρου, τὰ μὲν οἰκήια ἦν μέζω κακὰ ἢ ὥστε ἀνακλαίειν, τὸ δὲ τοῦ ἑταίρου πένθος ἄξιον ἦν δακρύων, ὃς ἐκ πολλῶν τε καὶ εὐδαιμόνων ἐκπεσὼν ἐς πτωχηίην ἀπῖκται ἐπὶ γήραος οὐδῷ ». Καὶ ταῦτα ὡς ἀπενειχθέντα ὑπὸ τούτου ἤκουσε, εὖ δοκέειν οἱ εἰρῆσθαι. Λέγεται δὲ ὑπ' Αἰγυπτίων δακρύειν μὲν Κροῖσον ( ἐτετεύχεε γὰρ καὶ οὗτος ἐπισπόμενος Καμβύσῃ ἐπ' Αἴγυπτον ), δακρύειν δὲ Περσέων τοὺς παρεόντας, αὐτῷ τε Καμβύσῃ ἐσελθεῖν οἶκτόν τινα καὶ αὐτίκα κελεύειν τόν τε αὐτοῦ παῖδα ἐκ τῶν ἀπολλυμένων σώζειν καὶ αὐτὸν ἐκ τοῦ προαστείου ἀναστήσαντας ἄγειν παρ' ἑωυτόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τὸν μὲν δὴ παῖδα εὗρον οἱ μετιόντες οὐκέτι περιεόντα 15 ἀλλὰ πρῶτον κατακοπέντα, αὐτὸν δὲ Ψαμμήνιτον ἀναστήσαντες ἦγον παρὰ Καμβύσεα· ἔνθα τοῦ λοιποῦ διαιτᾶτο ἔχων οὐδὲν βίαιον.

### 2. Ὁ δακτύλιος τοῦ Πολυκράτους.
### ( Κεφ. 39 - 43 )

Καμβύσεω δὲ ἐπ' Αἴγυπτον στρατευομένου ἐποιήσαντο 39 καὶ Λακεδαιμόνιοι στρατηίην ἐπὶ Σάμον τε καὶ Πολυκράτεα τὸν Αἰάκεος, ὃς ἔσχε Σάμον ἐπαναστάς. Ἴσχων δὲ ξεινίην Ἀμάσι, τῷ Αἰγύπτου βασιλέϊ, συνεθήκατο πέμπων τε δῶρα καὶ δεκόμενος ἄλλα παρ' ἐκείνου. Ἐν χρόνῳ δὲ ὀλίγῳ αὐτίκα τοῦ Πολυκράτεος τὰ πρήγματα ηὔξετο καὶ ἦν βεβωμένα ἀνά τε τὴν Ἰωνίην καὶ τὴν ἄλλην Ἑλλάδα· ὅκου γὰρ ἰθύσειε στρατεύεσθαι, πάντα οἱ ἐχώρεε εὐτυχέως. Ἔκτητο δὲ πεντηκοντέρους τε ἑκατὸν καὶ χιλίους τοξότας. Ἔφερε δὲ καὶ ἦγε πάντας, διακρίνων δὲ οὐδένα· τῷ γὰρ φίλῳ ἔφη χαριεῖσθαι μᾶλλον ἀποδιδούς, τὰ ἔλαβε, ἢ ἀρχὴν μηδὲ λαβών. Συχνὰς μὲν δὴ τῶν νήσων ἀραιρήκεε, πολλὰ δὲ καὶ τῆς ἠπείρου ἄστεα. Ἐν δὲ δὴ καὶ Λεσβίους πανστρατιῇ βωθέοντας Μιλησίοισι ναυμαχίῃ κρατήσας εἷλε, οἳ τὴν τάφρον περὶ τὸ τεῖχος τὸ ἐν Σάμῳ πᾶσαν δεδεμένοι ὤρυξαν.

Καί κως τὸν Ἄμασιν εὐτυχέων μεγάλως ὁ Πολυκράτης 40 οὐκ ἐλάνθανε, ἀλλά οἱ τοῦτ' ἦν ἐπιμελές. Πολλῷ δὲ ἔτι πλεῦνός οἱ εὐτυχίης γινομένης γράψας ἐς βιβλίον τάδε ἐπέστειλε ἐς Σάμον· « Ἄμασις Πολυκράτεϊ ὧδε λέγει. Ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα· ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι, ἐπισταμένῳ τὸ θεῖον ὡς ἔστι φθονερόν. Καί κως βούλομαι καὶ αὐτὸς καί, τῶν ἂν κήδωμαι, τὸ μέν τι εὐτυχέειν τῶν πρηγμάτων, τὸ δὲ προσπταίειν, καὶ οὕτω διαφέρειν τὸν αἰῶνα ἐναλλὰξ πρήσσων ἢ εὐτυχέειν τὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πάντα. Οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας, ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα. Σὺ ὦν νῦν ἐμοὶ πειθόμενος ποίησον πρὸς τὰς εὐτυχίας τοιάδε· φροντίσας, τὸ ἂν εὕρῃς ἐόν τοι πλείστου ἄξιον καὶ ἐπ' ᾧ σὺ ἀπολομένῳ μάλιστα τὴν ψυχὴν ἀλγήσεις, τοῦτο ἀπόβαλε οὕτω, ὅκως μηκέτι ἥξει ἐς ἀνθρώπους. Ἤν τε μὴ ἐναλλὰξ ἤδη τὠπὸ τούτου αἱ εὐτυχίαι τοι τῇσι πάθῃσι προσπίπτωσι, τρόπῳ τῷ ἐξ ἐμεῦ ὑποκειμένῳ ἀκέο ».

41 Ταῦτα ἐπιλεξάμενος ὁ Πολυκράτης καὶ νόῳ λαβών, ὥς οἱ εὖ ὑπετίθετο Ἄμασις, ἐδίζητο, ἐπ' ᾧ ἂν μάλιστα τὴν ψυχὴν ἀσηθείη ἀπολομένῳ τῶν κειμηλίων, διζήμενος δ' εὕρισκε τόδε· ἦν οἱ σφρηγίς, τὴν ἐφόρεε, χρυσόδετος, σμαράγδου μὲν λίθου ἐοῦσα, ἔργον δὲ Θεοδώρου τοῦ Τηλεκλέος Σαμίου. Ἐπεὶ ὦν ταύτην οἱ ἐδόκεε ἀποβαλεῖν, ἐποίεε τοιάδε· πεντηκόντερον πληρώσας ἀνδρῶν ἐσέβη ἐς αὐτήν, μετὰ δὲ ἀναγαγεῖν ἐκέλευε ἐς τὸ πέλαγος· ὡς δὲ ἀπὸ τῆς νήσου ἑκὰς ἐγένετο, περιελόμενος τὴν σφρηγῖδα πάντων ὁρεόντων τῶν συμπλόων ῥίπτει ἐς τὸ πέλαγος. Τοῦτο δὲ ποιήσας ἀπέπλεε, ἀπικόμενος δὲ ἐς τὰ οἰκία συμφορῇ ἐχρᾶτο.

42 Πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπὸ τούτων τάδε οἱ συνήνεικε γενέσθαι· ἀνὴρ ἁλιεὺς λαβὼν ἰχθὺν μέγαν τε καὶ καλὸν ἠξίου μιν Πολυκράτεϊ δῶρον δοθῆναι· φέρων δὴ ἐπὶ τὰς θύρας Πολυκράτεϊ ἔφη ἐθέλειν ἐλθεῖν ἐς ὄψιν, χωρήσαντος δέ οἱ τούτου ἔλεγε διδοὺς τὸν ἰχθύν· « Ὦ βασιλεῦ, ἐγὼ τόνδε ἑλὼν οὐκ ἐδικαίωσα φέρειν ἐς ἀγορήν, καίπερ γε ἐὼν ἀποχειροβίοτος, ἀλλά μοι ἐδόκεε σεῦ τε εἶναι ἄξιος καὶ τῆς σῆς ἀρχῆς· σοὶ δή μιν φέρων δίδωμι ». Ὁ δὲ ἡσθεὶς τοῖσι ἔπεσι ἀμείβεται τοῖσδε· « Κάρτα τε εὖ ἐποίησας, καὶ χάρις διπλόη τῶν τε λόγων καὶ τοῦ δώρου· καί σε ἐπὶ δεῖπνον καλέομεν ». Ὁ μὲν δὴ ἁλιεὺς μέγα ποιεύμενος ταῦτα ἤιε ἐς τὰ οἰκία, τὸν δὲ ἰχθὺν τάμνοντες οἱ θεράποντες εὑρίσκουσι ἐν τῇ νηδύι αὐτοῦ ἐνεοῦσαν τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πολυκράτεος σφρηγῖδα. Ὡς δὲ εἶδόν τε καὶ ἔλαβον τάχιστα, ἔφερον κεχαρηκότες παρὰ τὸν Πολυκράτεα, διδόντες δέ οἱ τὴν σφρηγῖδα ἔλεγον, ὅτεῳ τρόπῳ εὑρέθη. Τὸν δὲ ὡς ἐσῆλθε θεῖον εἶναι τὸ πρῆγμα, γράφει ἐς βιβλίον πάντα, τὰ ἐποίησε, καὶ οἷά μιν καταλελαβήκεε, γράψας δὲ ἐς Αἴγυπτον ἐπέστειλε.

Ἐπιλεξάμενος δὲ ὁ Ἄμασις τὸ βιβλίον τὸ παρὰ τοῦ Πο- 43
λυκράτεος ἧκον ἔμαθε, ὅτι ἐκκομίσαι τε ἀδύνατον εἴη ἀνθρώπῳ ἄνθρωπον ἐκ τοῦ μέλλοντος γίνεσθαι πρήγματος καὶ ὅτι οὐκ εὖ τελευτήσειν μέλλοι Πολυκράτης εὐτυχέων τὰ πάντα, ὃς καί, τὰ ἀποβάλλει, εὑρίσκει. Πέμψας δέ οἱ κήρυκα ἐς Σάμον διαλύεσθαι ἔφη τὴν ξεινίην. Τοῦδε δὲ εἵνεκεν ταῦτα ἐποίεε, ἵνα μὴ συντυχίης δεινῆς τε καὶ μεγάλης Πολυκράτεα καταλαβούσης αὐτὸς ἀλγήσειε τὴν ψυχὴν ὡς περὶ ξείνου ἀνδρός.

*[ Τὸ ἀπαίσιον προαίσθημα τοῦ Ἀμάσιος ἐξεπληρώθη. Ὁ Πολυκράτης βραδύτερον — τὸ 522 — ὑπέστη σκληρὸν θάνατον· συλληφθεὶς δολίως ὑπὸ τοῦ Πέρσου σατράπου Ὀροίτου ἐφονεύθη ἀνακρεμασθεὶς ἐπὶ σταυροῦ. ]*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ

# ΤΕΡΨΙΧΟΡΗ

*[Ὁ Ἀρισταγόρας, ὁ τύραννος τῆς Μιλήτου, παρακινηθεὶς ἀπὸ τὸν πενθερόν του Ἱστιαῖον ἐξεγείρει τὰς Ἰωνικὰς πόλεις εἰς ἐπανάστασιν κατὰ τῶν Περσῶν. Συγχρόνως δ' ἔρχεται εἰς τὴν Σπάρτην, διὰ νὰ ζητήσῃ βοήθειαν.]*

## 1. Ὁ Ἀρισταγόρας εἰς τὴν Σπάρτην.
## (Κεφ. 49 - 51)

49 Ἀπικνέεται ὦν ὁ Ἀρισταγόρης ὁ Μιλήτου τύραννος ἐς τὴν Σπάρτην Κλεομένεος ἔχοντος τὴν ἀρχήν· τῷ δὴ ἐς λόγους ἤιε, ὡς Λακεδαιμόνιοι λέγουσι, ἔχων χάλκεον πίνακα, ἐν τῷ γῆς ἁπάσης περίοδος ἐνετέτμητο καὶ θάλασσά τε πᾶσα καὶ ποταμοὶ πάντες. Ἀπικνεόμενος δὲ ἐς λόγους ὁ Ἀρισταγόρης ἔλεγε πρὸς αὐτὸν τάδε·

« Κλεόμενες, σπουδὴν μὲν τὴν ἐμὴν μὴ θωμάσῃς τῆς ἐνθαῦτα ἀπίξιος· τὰ γὰρ κατήκοντά ἐστι τοιαῦτα· Ἰώνων παῖδας δούλους εἶναι ἀντ' ἐλευθέρων ὄνειδος καὶ ἄλγος μέγιστον μὲν αὐτοῖσι ἡμῖν, ἔτι δὲ τῶν λοιπῶν ὑμῖν, ὅσῳ προέστατε τῆς Ἑλλάδος. Νῦν ὦν πρὸς θεῶν τῶν Ἑλληνίων ῥύσασθε Ἴωνας ἐκ δουλοσύνης, ἄνδρας ὁμαίμονας. Εὐπετέως δὲ ὑμῖν ταῦτα οἷά τε χωρέειν ἐστί· οὔτε γὰρ οἱ βάρβαροι ἄλκιμοί εἰσι, ὑμεῖς τε τὰ ἐς τὸν πόλεμον ἐς τὰ μέγιστα ἀνήκετε ἀρετῆς πέρι. Ἥ τε μάχη αὐτῶν ἐστι τοιήδε, τόξα καὶ αἰχμὴ βραχέα· ἀναξυρίδας δὲ ἔχοντες ἔρχονται ἐς τὰς μάχας καὶ κυρβασίας ἐπὶ τῇσι κεφαλῇσι· οὕτω εὐπετέες χειρωθῆναί εἰσι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» Ἔστι δὲ καὶ ἀγαθὰ τοῖσι τὴν ἤπειρον ἐκείνην νεμομένοισι, ὅσα οὐδὲ τοῖσι συνάπασι ἄλλοισι, πρῶτον μὲν χρυσός, ἔπειτα δὲ ἄργυρος καὶ χαλκὸς καὶ ἐσθὴς ποικίλη καὶ ὑποζύγιά τε καὶ ἀνδράποδα· τὰ θυμῷ βουλόμενοι αὐτοὶ ἂν ἔχοιτε. Κατοίκηνται δὲ ἀλλήλων ἐχόμενοι, ὡς ἐγὼ φράσω, Ἰώνων μὲν τῶνδε οἵδε Λυδοί, οἰκέοντές τε χώρην ἀγαθὴν καὶ πολυαργυρώτατοι ἐόντες ». Δεικνὺς δὲ ἔλεγε ταῦτα ἐς τῆς γῆς τὴν περίοδον, τὴν ἐφέρετο ἐν τῷ πίνακι ἐντετμημένην. « Λυδῶν δέ », ἔφη λέγων ὁ Ἀρισταγόρης, « οἵδε ἔχονται Φρύγες οἱ πρὸς τὴν ἠῶ, πολυπροβατώτατοί τε ἐόντες πάντων, τῶν ἐγὼ οἶδα, καὶ πολυκαρπότατοι. Φρυγῶν δὲ ἔχονται Καππαδόκαι, τοὺς ἡμεῖς Συρίους καλέομεν· τούτοισι δὲ πρόσουροι Κίλικες, κατήκοντες ἐπὶ θάλασσαν τήνδε, ἐν τῇ ἥδε Κύπρος νῆσος κέεται· οἳ πεντακόσια τάλαντα βασιλέϊ τὸν ἐπέτειον φόρον ἐπιτελέουσι. Κιλίκων δὲ τῶνδε ἔχονται Ἀρμένιοι οἵδε, καὶ οὗτοι ἐόντες πολυπρόβατοι, Ἀρμενίων δὲ Ματιηνοὶ χώρην τήνδε ἔχοντες. Ἔχεται δὲ τούτων γῆ ἥδε Κισσίη, ἐν τῇ δὴ παρὰ ποταμὸν τόνδε Χοάσπην κείμενά ἐστι τὰ Σοῦσα ταῦτα, ἔνθα βασιλεύς τε μέγας δίαιταν ποιέεται, καὶ τῶν χρημάτων οἱ θησαυροὶ ἐνθαῦτά εἰσι· ἑλόντες δὲ ταύτην τὴν πόλιν θαρσέοντες ἤδη τῷ Διὶ πλούτου πέρι ἐρίζετε.

» Ἀλλὰ περὶ μὲν χώρης ἄρα οὐ πολλῆς οὐδὲ οὕτω χρηστῆς καὶ οὔρων σμικρῶν χρεόν ἐστι ὑμέας μάχας ἀναβάλλεσθαι πρός τε Μεσσηνίους ἐόντας ἰσοπαλέας καὶ Ἀρκάδας τε καὶ Ἀργείους, τοῖσι οὔτε χρυσοῦ ἐχόμενόν ἐστι οὐδὲν οὔτε ἀργύρου, τῶν πέρι καί τινα ἐνάγει προθυμίη μαχόμενον ἀποθνήσκειν· παρέχον δὲ τῆς Ἀσίης πάσης ἄρχειν εὐπετέως, ἄλλο τι αἱρήσεσθε ; »

Ἀρισταγόρης μὲν ταῦτα ἔλεξε, Κλεομένης δὲ ἀμείβετο 50
τοῖσδε· « Ὦ ξεῖνε Μιλήσιε, ἀναβάλλομαί τοι ἐς τρίτην ἡμέρην ὑποκρινέεσθαι ». Τότε μὲν ἐς τοσοῦτο ἤλασαν· ἐπείτε δὲ ἡ κυ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρίῃ ἡμέρῃ ἐγένετο τῆς ὑποκρίσιος καὶ ἦλθον ἐς τὸ συγκείμενον, εἴρετο ὁ Κλεομένης τὸν Ἀρισταγόρην, ὁκόσων ἡμερέων ἀπὸ θαλάσσης τῆς Ἰώνων ὁδὸς εἴη παρὰ βασιλέα. Ὁ δὲ Ἀρισταγόρης, τὰ ἄλλα ἐὼν σοφὸς καὶ διαβάλλων ἐκεῖνον εὖ, ἐν τούτῳ ἐσφάλη· χρεὸν γάρ μιν μὴ λέγειν τὸ ἐόν, βουλόμενόν γε Σπαρτιήτας ἐξαγαγεῖν ἐς τὴν Ἀσίην, λέγει δ' ὦν τριῶν μηνῶν φὰς εἶναι τὴν ἄνοδον. Ὁ δὲ ὑπαρπάσας τὸν ἐπίλοιπον λόγον, τὸν ὁ Ἀρισταγόρης ὥρμητο λέγειν περὶ τῆς ὁδοῦ, εἶπε· « Ὦ ξεῖνε Μιλήσιε, ἀπαλλάσσεο ἐκ Σπάρτης πρὸ δύντος ἡλίου· οὐδένα γὰρ λόγον εὐεπέα λέγεις Λακεδαιμονίοισι, ἐθέλων σφέας ἀπὸ θαλάσσης τριῶν μηνῶν ὁδὸν ἀγαγεῖν ».

51 Ὁ μὲν δὴ Κλεομένης ταῦτα εἴπας ἤιε ἐς τὰ οἰκία· ὁ δὲ Ἀρισταγόρης λαβὼν ἱκετηρίην ἤιε ἐς τοῦ Κλεομένεος, ἐσελθὼν δὲ ἔσω ἅτε ἱκετεύων ἐπακοῦσαι ἐκέλευε τὸν Κλεομένεα ἀποπέμψαντα τὸ παιδίον· προσεστήκεε γὰρ δὴ τῷ Κλεομένεϊ ἡ θυγάτηρ, τῇ οὔνομα ἦν Γοργώ· τοῦτο δέ οἱ καὶ μοῦνον τέκνον ἐτύγχανε ἐὸν ἐτέων ὀκτὼ ἢ ἐννέα ἡλικίην. Κλεομένης δὲ λέγειν μιν ἐκέλευε, τὰ βούλεται, μηδὲ ἐπισχεῖν τοῦ παιδίου εἵνεκα. Ἐνθαῦτα δὴ ὁ Ἀρισταγόρης ἤρχετο ἐκ δέκα ταλάντων ὑπισχνεόμενος, ἤν οἱ ἐπιτελέσῃ, τῶν ἐδέετο. Ἀνανεύοντος δὲ τοῦ Κλεομενέος προέβαινε τοῖσι χρήμασι ὑπερβάλλων ὁ Ἀρισταγόρης, ἐς ὃ πεντήκοντά τε τάλαντα ὑπεδέδεκτο καὶ τὸ παιδίον ηὐδάξατο· « Πάτερ, διαφθερέει σε ὁ ξεῖνος, ἢν μὴ ἀποστὰς ἴῃς ». Ὅ τε δὴ Κλεομένης ἡσθεὶς τοῦ παιδίου τῇ παραινέσι ἤιε ἐς ἕτερον οἴκημα, καὶ ὁ Ἀρισταγόρης ἀπαλλάσσετο τὸ παράπαν ἐκ τῆς Σπάρτης, οὐδέ οἱ ἐξεγένετο ἐπὶ πλέον ἔτι σημῆναι περὶ τῆς ἀνόδου τῆς παρὰ βασιλέα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 2. Ὁ Ἀρισταγόρας εἰς τὰς Ἀθήνας. — Ἐκστρατεία τῶν Ἰώνων κατὰ τῶν Σάρδεων καὶ πυρπόλησις αὐτῶν.

### ( Κεφ. 97, 99 - 103, 105 )

Ἀπελαυνόμενος δὲ ὁ Ἀρισταγόρης ἐκ τῆς Σπάρτης ἤιε ἐς 97
τὰς Ἀθήνας· αὕτη γὰρ ἡ πόλις τῶν λοιπέων ἐδυνάστευε μέγιστον. Ἐπελθὼν δὲ ἐπὶ τὸν δῆμον ὁ Ἀρισταγόρης ταὐτὰ ἔλεγε, τὰ καὶ ἐν τῇ Σπάρτῃ περὶ τῶν ἀγαθῶν τῶν ἐν τῇ Ἀσίῃ καὶ τοῦ πολέμου τοῦ Περσικοῦ, ὡς οὔτε ἀσπίδα οὔτε δόρυ νομίζουσι εὐπετέες τε χειρωθῆναι εἴησαν. Ταῦτά τε δὴ ἔλεγε, καὶ πρὸς τοῖσι τάδε, ὡς οἱ Μιλήσιοι τῶν Ἀθηναίων εἰσὶ ἄποικοι, καὶ οἰκός σφεας εἴη ῥύεσθαι δυναμένους μέγα. Καὶ οὐδέν, ὅ τι οὐκ ὑπίσχετο οἷα κάρτα δεόμενος, ἐς ὃ ἀνέπεισέ σφεας. Πολλοὺς γὰρ οἶκε εἶναι εὐπετέστερον διαβάλλειν ἢ ἕνα, εἰ Κλεομένεα μὲν τὸν Λακεδαιμόνιον μοῦνον οὐκ οἷός τε ἐγένετο διαβάλλειν, τρεῖς δὲ μυριάδας Ἀθηναίων ἐποίησε τοῦτο. Ἀθηναῖοι μὲν δὴ ἀναπεισθέντες ἐψηφίσαντο εἴκοσι νέας ἀποστεῖλαι βοηθοὺς Ἴωσι, στρατηγὸν ἀποδέξαντες αὐτῶν εἶναι Μελάνθιον, ἄνδρα τῶν ἀστῶν ἐόντα τὰ πάντα δόκιμον. Αὗται δὲ αἱ νέες ἀρχὴ κακῶν ἐγένοντο Ἕλλησί τε καὶ βαρβάροισι.

Ἀρισταγόρης δέ, ἐπειδὴ οἵ τε Ἀθηναῖοι ἀπίκοντο εἴκοσι 99
νηυσί, ἅμα ἀγόμενοι Ἐρετριέων πέντε τριήρεας, καὶ οἱ ἄλλοι σύμμαχοι παρῆσαν, ἐποιέετο στρατηίην ὁ Ἀρισταγόρης ἐς Σάρδις. Αὐτὸς μὲν δὴ οὐκ ἐστρατεύετο, ἀλλ' ἔμενε ἐν Μιλήτῳ, στρατηγοὺς δὲ ἄλλους ἀπέδεξε Μιλησίων εἶναι, τὸν ἑωυτοῦ τε ἀδελφεὸν Χαροπῖνον καὶ τῶν ἄλλων ἀστῶν Ἑρμόφαντον.

Ἀπικόμενοι δὲ τῷ στόλῳ τούτῳ Ἴωνες ἐς Ἔφεσον πλοῖα 100
μὲν κατέλιπον ἐν Κορησσῷ τῆς Ἐφεσίης, αὐτοὶ δὲ ἀνέβαινον χειρὶ πολλῇ, ποιεύμενοι Ἐφεσίους ἡγεμόνας. Πορευόμενοι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ παρὰ ποταμὸν Καΰστριον, ἐνθεῦτεν ἐπείτε ὑπερβάντες τὸν Τμῶλον ἀπίκοντο, αἱρέουσι Σάρδις οὐδενός σφι ἀντιωθέντος, αἱρέουσι δὲ χωρὶς τῆς ἀκροπόλιος τἆλλα πάντα· τὴν δὲ ἀκρόπολιν ἐρρύετο αὐτὸς Ἀρταφέρνης ἔχων δύναμιν ἀνδρῶν οὐκ ὀλίγην.

101 Τὸ δὲ μὴ λεηλατῆσαι ἑλόντας σφέας τὴν πόλιν ἔσχε τόδε. Ἦσαν ἐν τῇσι Σάρδισι οἰκίαι αἱ μὲν πλεῦνες καλάμιναι, ὅσαι δ' αὐτέων καὶ πλίνθιναι ἦσαν, καλάμου εἶχον τὰς ὀροφάς. Τούτων δὴ μίαν τῶν τις στρατιωτέων ὡς ἐνέπρησε, αὐτίκα ἀπ' οἰκίης ἐς οἰκίην ἰὸν τὸ πῦρ ἐπενέμετο τὸ ἄστυ πᾶν. Καιομένου δὲ τοῦ ἄστεος οἱ Λυδοί τε καὶ ὅσοι Περσέων ἐνῆσαν ἐν τῇ πόλι, ἀπολαμφθέντες πάντοθεν, ὥστε τὰ περιέσχατα νεμομένου τοῦ πυρός, καὶ οὐκ ἔχοντες ἐξήλυσιν ἐκ τοῦ ἄστεος, συνέρρεον ἔς τε τὴν ἀγορὴν καὶ ἐπὶ τὸν Πακτωλὸν ποταμόν, ὅς σφι ψῆγμα χρυσοῦ καταφορέων ἐκ τοῦ Τμώλου διὰ μέσης τῆς ἀγορῆς ῥέει καὶ ἔπειτα ἐς τὸν Ἕρμον ποταμὸν ἐκδιδοῖ, ὁ δὲ ἐς θάλασσαν· ἐπὶ τοῦτον δὴ τὸν Πακτωλὸν καὶ ἐς τὴν ἀγορὴν ἀθροιζόμενοι οἵ τε Λυδοὶ καὶ οἱ Πέρσαι ἠναγκάζοντο ἀμύνεσθαι. Οἱ δὲ Ἴωνες ὁρέοντες τοὺς μὲν τῶν πολεμίων ἀμυνομένους, τοὺς δὲ σὺν πλήθεϊ πολλῷ προσφερομένους, ἐξανεχώρησαν δείσαντες πρὸς τὸ οὖρος τὸ Τμῶλον καλεόμενον, ἐνθεῦτεν δὲ ὑπὸ νύκτα ἀπαλλάσσοντο ἐπὶ τὰς νέας.

102 Καὶ Σάρδιες μὲν ἐνεπρήσθησαν, ἐν δὲ αὐτῇσι καὶ ἱρὸν ἐπιχωρίης θεοῦ Κυβήβης, τὸ σκηπτόμενοι Πέρσαι ὕστερον ἀντενεπίμπρασαν τὰ ἐν Ἕλλησι ἱρά. Τότε δὲ οἱ Πέρσαι οἱ ἐντὸς Ἅλυος ποταμοῦ νομοὺς ἔχοντες, προπυνθανόμενοι ταῦτα συνηλίζοντο καὶ ἐβώθεον τοῖσι Λυδοῖσι. Καί κως ἐν μὲν Σάρδισι οὐκέτι ἐόντας τοὺς Ἴωνας εὑρίσκουσι, ἑπόμενοι δὲ κατὰ στίβον αἱρέουσι αὐτοὺς ἐν Ἐφέσῳ. Καὶ ἀντετάχθησαν μὲν οἱ Ἴωνες, συμβαλόντες δὲ πολλὸν ἑσσώθησαν. Καὶ πολλοὺς αὐτῶν οἱ Πέρσαι φονεύουσι ἄλλους τε οὐνομαστούς,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐν δὲ δὴ καὶ Εὐαλκίδεα στρατηγέοντα Ἐρετριέων, στεφανη-
φόρους τε ἀγῶνας ἀναραιρηκότα καὶ ὑπὸ Σιμωνίδεω τοῦ
Κηΐου πολλὰ αἰνεθέντα. Οἳ δὲ αὐτῶν ἀπέφυγον τὴν μάχην,
ἐσκεδάσθησαν ἀνὰ τὰς πόλις.

Τότε μὲν δὴ οὕτω ἠγωνίσαντο· μετὰ δὲ Ἀθηναῖοι μὲν τὸ 103
παράπαν ἀπολιπόντες τοὺς Ἴωνας ἐπικαλεομένου σφέας πολ-
λὰ δι' ἀγγέλων Ἀρισταγόρεω οὐκ ἔφασαν τιμωρήσειν σφι.
Ἴωνες δὲ τῆς Ἀθηναίων συμμαχίης στερηθέντες, οὕτω γάρ
σφι ὑπῆρχε πεποιημένα ἐς Δαρεῖον, οὐδὲν δὴ ἔσσον τὸν πρὸς
βασιλέα πόλεμον ἐσκευάζοντο. Πλώσαντες δὲ ἐς τὸν Ἑλλήσ-
ποντον Βυζάντιόν τε καὶ τὰς ἄλλας πόλις πάσας τὰς ταύτῃ
ὑπ' ἑωυτοῖσι ἐποιήσαντο, ἐκπλώσαντές τε ἔξω τὸν Ἑλλήσπον-
τον Καρίης τὴν πολλὴν προσεκτήσαντο σφίσι σύμμαχον εἶναι·
καὶ γὰρ ἡ Καῦνος πρότερον οὐ βουλομένη συμμαχεῖν, ὡς ἐνέ-
πρησαν τὰς Σάρδις, τότε σφι καὶ αὕτη προσεγένετο. Κύπριοι
δὲ ἐθελονταί σφι πάντες προσεγένοντο πλὴν Ἀμαθουσίων.

Βασιλέϊ δὲ Δαρείῳ ὡς ἐξηγγέλθη Σάρδις ἁλούσας ἐμπε- 105
πρῆσθαι ὑπό τε Ἀθηναίων καὶ Ἰώνων, τὸν δὲ ἡγεμόνα γε-
νέσθαι τῆς συλλογῆς, ὥστε ταῦτα συνυφανθῆναι, τὸν Μιλή-
σιον Ἀρισταγόρην, πρῶτα μὲν λέγεται αὐτόν, ὡς ἐπύθετο
ταῦτα, Ἰώνων οὐδένα λόγον ποιησάμενον, εὖ εἰδότα, ὡς οὗ-
τοί γε οὐ καταπροΐξονται ἀποστάντες, εἰρέσθαι, οἵτινες εἶεν
οἱ Ἀθηναῖοι· μετὰ δὲ πυθόμενον αἰτῆσαι τὸ τόξον, λαβόντα
δὲ καὶ ἐπιθέντα ὀϊστὸν ἄνω πρὸς τὸν οὐρανὸν ἀπεῖναι, καί
μιν ἐς τὸν ἠέρα βάλλοντα εἰπεῖν· « Ὦ Ζεῦ, ἐκγενέσθαι μοι
Ἀθηναίους τείσασθαι ». Εἴπαντα δὲ ταῦτα προστάξαι ἑνὶ
τῶν θεραπόντων δείπνου προκειμένου αὐτῷ ἐς τρὶς ἑκάστοτε εἰ-
πεῖν· « Δέσποτα, μέμνεο τῶν Ἀθηναίων ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ

## ΕΡΑΤΩ

### 1. Ἅλωσις τῆς Μιλήτου καὶ τῶν ἄλλων Ἰωνικῶν πόλεων.— Τέλος τῆς ἐπαναστάσεως τῶν Ἰώνων.

**( Κεφ. 6 - 7, 18, 20 - 21, 31 - 33, 42 )**

6 Συστραφέντες οἱ στρατηγοὶ τῶν Περσέων καὶ ἓν ποιήσαν-
τες στρατόπεδον ἤλαυνον ἐπὶ τὴν Μίλητον, τἆλλα πολίσματα
7 περὶ ἐλάσσονος ποιησάμενοι. Ἴωσι δὲ πυνθανομένοισι ταῦτα
ἔδοξε πεζὸν μὲν στρατὸν μὴ συλλέγειν ἀντίξοον Πέρσῃσι, ἀλ-
λὰ τὰ τείχεα ῥύεσθαι αὐτοὺς Μιλησίους, τὸ δὲ ναυτικὸν πλη-
ροῦν ὑπολειπομένους μηδεμίαν τῶν νεῶν, πληρώσαντας δὲ
συλλέγεσθαι τὴν ταχίστην ἐς Λάδην προναυμαχήσοντας Μι-
λήτου· ἡ δὲ Λάδη ἐστὶ νῆσος σμικρὴ ἐπὶ τῇ πόλι τῇ Μιλησίων
κειμένη.

18 Οἱ δὲ Πέρσαι ἐπείτε τῇ ναυμαχίῃ ἐνίκων τοὺς Ἴωνας, τὴν
Μίλητον πολιορκέοντες ἐκ γῆς καὶ θαλάσσης, καὶ ὑπορύσσον-
τες τὰ τείχεα καὶ παντοίας μηχανὰς προσφέροντες, αἱρέουσι
κατ᾽ ἄκρης ἕκτῳ ἔτεϊ ἀπὸ τῆς ἀποστάσιος τῆς Ἀρισταγόρεω·
20 καὶ ἠνδραποδίσαντο τὴν πόλιν. Ἐνθεῦτεν οἱ ζωγρηθέντες
τῶν Μιλησίων ἤγοντο ἐς Σοῦσα. Βασιλεὺς δέ σφεας Δαρεῖος
κακὸν οὐδὲν ἄλλο ποιήσας κατοίκισε ἐπὶ τῇ Ἐρυθρῇ καλεο-
μένῃ θαλάσσῃ, ἐν Ἄμπῃ πόλι, παρ᾽ ἣν Τίγρης ποταμὸς πα-
21 ραρρέων ἐς θάλασσαν ἐξιεῖ. Ἀθηναῖοι δὲ δῆλον ἐποίησαν
ὑπεραχθεσθέντες τῇ Μιλήτου ἁλώσι τῇ τε ἄλλῃ πολλαχῇ, καὶ
δὴ καὶ ποιήσαντι Φρυνίχῳ δρᾶμα Μιλήτου ἅλωσιν καὶ διδά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ξαντι ἐς δάκρυά τε ἔπεσε τὸ θέητρον, καὶ ἐζημίωσάν μιν ὡς
ἀναμνήσαντα οἰκήια κακὰ χιλίῃσι δραχμῇσι, καὶ ἐπέταξαν
μηκέτι μηδένα χρᾶσθαι τούτῳ τῷ δράματι.

Ὁ δὲ ναυτικὸς στρατὸς ὁ Περσέων χειμερίσας περὶ Μί- 31
λητον, τῷ δευτέρῳ ἔτεϊ ὡς ἀνέπλωσε, αἱρέει εὐπετέως τὰς
νήσους τὰς πρὸς τῇ ἠπείρῳ κειμένας, Χίον καὶ Λέσβον καὶ
Τένεδον. Αἵρεον δὲ καὶ τὰς ἐν τῇ ἠπείρῳ πόλιας τὰς Ἰάδας.
Ταῦτά τε δὴ ἐποίευν καὶ τὰς πόλιας ἐνεπίμπρασαν αὐτοῖσι 32
τοῖσι ἱροῖσι. Οὕτω δὴ τὸ τρίτον Ἴωνες κατεδουλώθησαν,
πρῶτον μὲν ὑπὸ Λυδῶν, δὶς δὲ ἐπεξῆς τότε ὑπὸ Περσέων.

Ἀπὸ δὲ Ἰωνίης ἀπαλλασσόμενος ὁ ναυτικὸς στρατὸς τὰ 33
ἐπ' ἀριστερὰ ἐσπλέοντι τοῦ Ἑλλησπόντου αἵρεε πάντα· τὰ
γὰρ ἐπὶ δεξιὰ αὐτοῖσι τοῖσι Πέρσῃσι ὑποχείρια ἦν γεγονότα
κατ' ἤπειρον. Εἰσὶ δὲ αἱ ἐν τῇ Εὐρώπῃ χῶραι τοῦ Ἑλλησ-
πόντου αἵδε, Χερσόνησός τε, ἐν τῇ πόλιες συχναὶ ἔνεισι,
καὶ Πέρινθος καὶ τὰ τείχεα τὰ ἐπὶ Θρηίκης καὶ Σηλυμβρίη
τε καὶ Βυζάντιον.

Μετὰ δὲ Ἀρταφέρνης, ὁ Σαρδίων ὕπαρχος, μεταπεμψά- 42
μενος ἀγγέλους ἐκ τῶν πολίων συνθήκας σφίσι αὐτοῖσι τοὺς
Ἴωνας ἠνάγκασε ποιέεσθαι, ἵνα δωσίδικοι εἶεν καὶ μὴ ἀλ-
λήλους φέροιέν τε καὶ ἄγοιεν. Ταῦτά τε ἠνάγκασε ποιέειν
καὶ τὰς χώρας σφέων μετρήσας κατὰ παρασάγγας, τοὺς κα-
λέουσι οἱ Πέρσαι τὰ τριήκοντα στάδια, κατὰ δὴ τούτους με-
τρήσας φόρους ἔταξε ἑκάστοισι, οἳ κατὰ χώρην διατελέουσι
ἔχοντες ἐκ τούτου τοῦ χρόνου αἰεὶ ἔτι καὶ ἐς ἐμέ, ὡς ἐτάχθη-
σαν ἐξ Ἀρταφέρνεος· ἐτάχθησαν δὲ σχεδὸν κατὰ ταὐτά, τὰ
καὶ πρότερον εἶχον. Καί σφι ταῦτα μὲν εἰρηναῖα ἦν.

### 2. Ἐκστρατεία τοῦ Μαρδονίου κατὰ τῆς Ἑλλάδος ( 492 ). ( Κεφ. 43 - 45 )

Ἅμα δὲ τῷ ἔαρι, τῶν ἄλλων καταλελυμένων στρατηγῶν 43

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐκ βασιλέος, Μαρδόνιος ὁ Γωβρύεω κατέβαινε ἐπὶ θάλασσαν, στρατὸν πολλὸν μὲν κάρτα πεζὸν ἅμα ἀγόμενος, πολλὸν δὲ ναυτικόν. Ἄγων δὲ τὸν στρατὸν τοῦτον ὁ Μαρδόνιος, ἐπείτε ἐγένετο ἐν τῇ Κιλικίῃ, αὐτὸς μὲν ἐπιβὰς ἐπὶ νεὸς ἐκομίζετο ἅμα τῇσι ἄλλῃσι νηυσί, στρατιὴν δὲ τὴν πεζὴν ἄλλοι ἡγεμόνες ἦγον ἐπὶ τὸν Ἑλλήσποντον. Ὡς δὲ παραπλέων τὴν Ἀσίην ἀπίκετο ὁ Μαρδόνιος ἐς τὴν Ἰωνίην, ἐνθαῦτα τοὺς τυράννους τῶν Ἰώνων καταπαύσας πάντας δημοκρατίας κατίστη ἐς τὰς πόλις. Ταῦτα δὲ ποιήσας ἠπείγετο ἐς τὸν Ἑλλήσποντον. Ὡς δὲ συνελέχθη μὲν χρῆμα πολλὸν νεῶν, συνελέχθη δὲ καὶ πεζὸς στρατὸς πολλός, διαβάντες τῇσι νηυσὶ τὸν Ἑλλήσποντον ἐπορεύοντο διὰ τῆς Εὐρώπης, ἐπορεύοντο δὲ ἐπί τε Ἐρέτριαν καὶ Ἀθήνας.

44 Αὗται μὲν ὦν σφι πρόσχημα ἦσαν τοῦ στόλου· ἀτὰρ ἐν νόῳ ἔχοντες ὅσας ἂν πλείστας δύναιντο καταστρέφεσθαι τῶν Ἑλληνίδων πολίων, τοῦτο μὲν δὴ τῇσι νηυσὶ Θασίους οὐδὲ χεῖρας ἀνταειραμένους κατεστρέψαντο, τοῦτο δὲ τῷ πεζῷ Μακεδόνας πρὸς τοῖσι ὑπάρχουσι δούλους προσεκτήσαντο· τὰ γὰρ ἐντὸς Μακεδόνων ἔθνεα πάντα σφι ἤδη ἦν ὑποχείρια γεγονότα. Ἐκ μὲν δὴ Θάσου διαβαλόντες πέρην ὑπὸ τὴν ἤπειρον ἐκομίζοντο μέχρι Ἀκάνθου, ἐκ δὲ Ἀκάνθου ὁρμώμενοι τὸν Ἄθων περιέβαλλον. Ἐπιπεσὼν δέ σφι περιπλέουσι βορέης ἄνεμος μέγας τε καὶ ἄπορος κάρτα τρηχέως περιέσπε πλήθεϊ πολλὰς τῶν νεῶν ἐκβάλλων πρὸς τὸν Ἄθων. Λέγεται γὰρ κατὰ τριηκοσίας μὲν τῶν νεῶν τὰς διαφθαρείσας εἶναι, ὑπὲρ δὲ δύο μυριάδας ἀνθρώπων· ὥστε γὰρ θηριωδεστάτης ἐούσης τῆς θαλάσσης ταύτης τῆς περὶ τὸν Ἄθων, οἱ μὲν ὑπὸ τῶν θηρίων διεφθείροντο ἁρπαζόμενοι, οἱ δὲ πρὸς τὰς πέτρας ἀρασσόμενοι· οἳ δὲ αὐτῶν νέειν οὐκ ἠπιστέατο, καὶ κατὰ τοῦτο διεφθείροντο, οἱ δὲ ῥίγεϊ.

45 Ὁ μὲν δὴ ναυτικὸς στρατὸς οὕτω ἔπρησσε, Μαρδονίῳ δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ τῷ πεζῷ στρατοπεδευομένῳ ἐν Μακεδονίῃ νυκτὸς Βρύγοι Θρήικες ἐπεχείρησαν· καί σφεων πολλοὺς φονεύουσι οἱ Βρύγοι, Μαρδόνιον δὲ αὐτὸν τρωματίζουσι. Οὐ μέντοι οὐδὲ αὐτοὶ δουλοσύνην διέφυγον πρὸς Περσέων· οὐ γὰρ δὴ πρότερον ἀπανέστη ἐκ τῶν χωρέων τούτων Μαρδόνιος, πρὶν ἤ σφεας ὑποχειρίους ἐποιήσατο. Τούτους μέντοι καταστρεψάμενος ἀπῆγε τὴν στρατιὴν ὀπίσω, ἅτε τῷ πεζῷ τε προσπταίσας πρὸς τοὺς Βρύγους καὶ τῷ ναυτικῷ μεγάλως περὶ τὸν Ἄθων. Οὗτος μέν νυν ὁ στόλος αἰσχρῶς ἀγωνισάμενος ἀπαλλάχθη ἐς τὴν Ἀσίην.

## 3. Ἐκστρατεία τοῦ Δάτιδος καὶ Ἀρταφέρνους κατὰ τῆς Ἑλλάδος.

## ( Κεφ. 94 - 97, 100 - 103, 105 - 117, 119 - 120 )

### α΄) Πλοῦς τοῦ περσικοῦ στόλου διὰ τῶν νήσων τοῦ Αἰγαίου πελάγους.— Ἅλωσις τῆς Ἐρετρίας.

### ( Κεφ. 94 – 97, 100 – 101 )

Δευτέρῳ δὲ ἔτεϊ τούτων ὁ Δαρεῖος Μαρδόνιον μὲν φλαύ- 94
ρως πρήξαντα τῷ στόλῳ παραλύει τῆς στρατηγίης, ἄλλους δὲ στρατηγοὺς ἀποδέξας ἀπέστειλε ἐπί τε Ἐρέτριαν καὶ Ἀθήνας, Δᾶτίν τε, ἐόντα Μῆδον γένος, καὶ Ἀρταφέρνεα, τὸν Ἀρταφέρνεος παῖδα, ἀδελφιδέον ἑωυτοῦ· ἐντειλάμενος δὲ ἀπέπεμπε ἐξανδραποδίσαντας Ἀθήνας καὶ Ἐρέτριαν ἀγαγεῖν ἑωυτῷ ἐς ὄψιν τὰ ἀνδράποδα.

Ὡς δὲ οἱ στρατηγοὶ οὗτοι οἱ ἀποδεχθέντες πορευόμενοι 95
παρὰ βασιλέος ἀπίκοντο τῆς Κιλικίης ἐς τὸ Ἀλήιον πεδίον, ἅμα ἀγόμενοι πεζὸν στρατὸν πολλόν τε καὶ εὖ ἐσκευασμένον, ἐνθαῦτα στρατοπεδευομένοισι ἐπῆλθε μὲν ὁ ναυτικὸς πᾶς στρατὸς ὁ ἐπιταχθεὶς ἑκάστοισι, παρεγένοντο δὲ καὶ αἱ ἱππαγωγοὶ νέες, τὰς τῷ προτέρῳ ἔτεϊ προεῖπε τοῖσι ἑωυτοῦ δασμοφόροι-



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σι Δαρεῖος ἑτοιμάζειν. Ἐσβαλόμενοι δὲ τοὺς ἵππους ἐς ταύτας καὶ τὸν πεζὸν στρατὸν ἐσβιβάσαντες ἐς τὰς νέας, ἔπλεον ἑξακοσίῃσι τριήρεσι ἐς τὴν Ἰωνίην. Ἐνθεῦτεν δὲ οὐ παρὰ τὴν ἤπειρον εἶχον τὰς νέας ἰθὺ τοῦ τε Ἑλλησπόντου καὶ τῆς Θρηίκης, ἀλλ' ἐκ Σάμου ὁρμώμενοι παρά τε Ἴκαρον καὶ διὰ νήσων τὸν πλόον ἐποιεῦντο, ὡς μὲν ἐμοὶ δοκέειν, δείσαντες μάλιστα τὸν περίπλοον τοῦ Ἄθω, ὅτι τρίτῳ πρότερον ἔτεϊ ποιεύμενοι ταύτῃ τὴν κομιδὴν μεγάλως προσέπταισαν· πρὸς δὲ καὶ ἡ Νάξος σφέας ἠνάγκαζε πρότερον οὐκ ἁλοῦσα.

96 Ἐπεὶ δὲ ἐκ τοῦ Ἰκαρίου πελάγεος προσφερόμενοι προσέμειξαν τῇ Νάξῳ ( ἐπὶ ταύτην γὰρ δὴ πρώτην ἐπεῖχον στρατεύεσθαι οἱ Πέρσαι μεμνημένοι τῶν πρότερον ), οἱ Νάξιοι πρὸς τὰ οὔρεα οἴχοντο φεύγοντες οὐδὲ ὑπέμειναν. Οἱ δὲ Πέρσαι ἀνδραποδισάμενοι, τοὺς κατέλαβον αὐτῶν, ἐνέπρησαν καὶ τὰ ἱρὰ καὶ τὴν πόλιν. Ταῦτα δὲ ποιήσαντες ἐπὶ τὰς ἄλλας νήσους ἀνήγοντο.

97 Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἐποίευν, οἱ Δήλιοι ἐκλιπόντες καὶ αὐτοὶ τὴν Δῆλον οἴχοντο φεύγοντες ἐς Τῆνον. Τῆς δὲ στρατιῆς καταπλεούσης ὁ Δᾶτις προπλώσας οὐκ ἔα τὰς νέας πρὸς τὴν νῆσον προσορμίζεσθαι, ἀλλὰ πέρην ἐν τῇ Ῥηναίῃ· αὐτὸς δὲ πυθόμενος, ἵνα ἦσαν οἱ Δήλιοι, πέμπων κήρυκα ἠγόρευέ σφι τάδε· « Ἄνδρες ἱροί, τί φεύγοντες οἴχεσθε οὐκ ἐπιτήδεα καταγνόντες κατ' ἐμεῦ ; Ἐγὼ γὰρ καὶ αὐτὸς ἐπὶ τοσοῦτό γε φρονέω καί μοι ἐκ βασιλέος ὧδε ἐπέσταλται, ἐν τῇ χώρῃ οἱ δύο θεοὶ ἐγένοντο, ταύτην μηδὲν σίνεσθαι, μήτε αὐτὴν τὴν χώρην μήτε τοὺς οἰκήτορας αὐτῆς. Νῦν ὦν καὶ ἄπιτε ἐπὶ τὰ ὑμέτερα αὐτῶν καὶ τὴν νῆσον νέμεσθε ». Ταῦτα μὲν ἐπεκηρυκεύσατο τοῖσι Δηλίοισι, μετὰ δὲ λιβανωτοῦ τριηκόσια τάλαντα κατανήσας ἐπὶ τοῦ βωμοῦ ἐθυμίησε.

100 Δᾶτις μὲν δὴ ταῦτα ποιήσας ἔπλεε ἅμα τῷ στρατῷ ἐπὶ τὴν Ἐρέτριαν πρῶτα, ἅμα ἀγόμενος καὶ Ἴωνας καὶ Αἰολέας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐρετριέες δὲ πυνθανόμενοι τὴν στρατιὴν τὴν Περσικὴν ἐπὶ σφέας ἐπιπλέουσαν Ἀθηναίων ἐδεήθησαν σφίσι βοηθοὺς γενέσθαι. Ἀθηναῖοι δὲ οὐκ ἀπείπαντο τὴν ἐπικουρίην, ἀλλὰ τοὺς τετρακισχιλίους τοὺς κληρουχέοντας τῶν ἱπποβοτέων Χαλκιδέων τὴν χώρην, τούτους σφι διδοῦσι τιμωρούς. Τῶν δὲ Ἐρετριέων ἦν ἄρα οὐδὲν ὑγιὲς βούλευμα, οἳ μετεπέμποντο μὲν Ἀθηναίους, ἐφρόνεον δὲ διφασίας ἰδέας· οἱ μὲν γὰρ αὐτῶν ἐβουλεύοντο ἐκλιπεῖν τὴν πόλιν ἐς τὰ ἄκρα τῆς Εὐβοίης, ἄλλοι δὲ αὐτῶν ἴδια κέρδεα προσδεκόμενοι παρὰ τοῦ Πέρσεω οἴσεσθαι προδοσίην ἐσκευάζοντο. Μαθὼν δὲ τούτων ἑκάτερα, ὡς εἶχε, Αἰσχίνης ὁ Νόθωνος, ἐὼν τῶν Ἐρετριέων τὰ πρῶτα, φράζει τοῖσι ἥκουσι τῶν Ἀθηναίων πάντα τὰ παρεόντα σφι πρήγματα, προσεδέετό τε ἀπαλλάσσεσθαί σφεας ἐς τὴν σφετέρην, ἵνα μὴ προσαπόλωνται. Οἱ δὲ Ἀθηναῖοι ταῦτα Αἰσχίνῃ συμβουλεύσαντι πείθονται.

Καὶ οὗτοι μὲν διαβάντες ἐς Ὠρωπὸν ἔσωζον σφέας αὐ- 101
τούς· οἱ δὲ Πέρσαι πλέοντες κατέσχον τὰς νέας τῆς Ἐρετρικῆς χώρης κατὰ Ταμύνας καὶ Χοιρέας καὶ Αἰγίλια, κατασχόντες δὲ ἐς ταῦτα τὰ χωρία αὐτίκα ἵππους τε ἐξεβάλλοντο καὶ παρεσκευάζοντο ὡς προσοισόμενοι τοῖσι ἐχθροῖσι. Οἱ δὲ Ἐρετριέες ἐπεξελθεῖν μὲν καὶ μαχέσασθαι οὐκ ἐποιεῦντο βουλήν· εἴ κως δὲ διαφυλάξειαν τὰ τείχεα, τούτου σφι πέρι ἔμελε, ἐπείτε ἐνίκα μὴ ἐκλιπεῖν τὴν πόλιν. Προσβολῆς δὲ γινομένης καρτερῆς πρὸς τὸ τεῖχος ἐπὶ ἓξ μὲν ἡμέρας ἔπιπτον πολλοὶ ἀμφοτέρων· τῇ δὲ ἑβδόμῃ Εὔφορβός τε ὁ Ἀλκιμάχου καὶ Φύλαγρος ὁ Κυνέω, ἄνδρες τῶν ἀστῶν δόκιμοι, προδιδοῦσι τοῖσι Πέρσῃσι. Οἱ δὲ ἐσελθόντες ἐς τὴν πόλιν τοῦτο μὲν τὰ ἱρὰ συλήσαντες ἐνέπρησαν, ἀποτινύμενοι τῶν ἐν Σάρδισι κατακαυθέντων ἱρῶν, τοῦτο δὲ τοὺς ἀνθρώπους ἠνδραποδίσαντο κατὰ τὰς Δαρείου ἐντολάς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**β΄) Ἀπόβασις τῶν Περσῶν εἰς τὴν Ἀττικήν.**
**Προπαρασκευαὶ τῶν Ἀθηναίων πρὸς μάχην. Μιλτιάδης.**
**(Κεφ. 102–103, 105–109)**

102 Χειρωσάμενοι δὲ τὴν Ἐρέτριαν καὶ ἐπισχόντες ὀλίγας
ἡμέρας ἔπλεον ἐς γῆν τὴν Ἀττικὴν κατεπείγοντές τε πολλὸν
καὶ δοκέοντες ταὐτὰ τοὺς Ἀθηναίους ποιήσειν, τὰ καὶ τοὺς
Ἐρετριέας ἐποίησαν. Καὶ ἦν γὰρ ὁ Μαραθὼν ἐπιτηδεότατον
χωρίον τῆς Ἀττικῆς ἐνιππεῦσαι καὶ ἀγχοτάτω τῆς Ἐρετρίης,
103 ἐς τοῦτό σφι κατηγέετο Ἱππίης ὁ Πεισιστράτου. Ἀθηναῖοι
δέ, ὡς ἐπύθοντο ταῦτα, ἐβώθεον καὶ αὐτοὶ ἐς τὸν Μαραθῶ-
να. Ἦγον δέ σφεας στρατηγοὶ δέκα, τῶν ὁ δέκατος ἦν Μιλ-
τιάδης, τοῦ τὸν πατέρα Κίμωνα τὸν Στησαγόρεω κατέλαβε
φυγεῖν ἐξ Ἀθηνέων Πεισίστρατον τὸν Ἱπποκράτεος. Οὗτος δὴ
ὁ Μιλτιάδης ἥκων ἐκ τῆς Χερσονήσου ἐστρατήγεε Ἀθηναίων.
105 Καὶ πρῶτα μὲν ἐόντες ἔτι ἐν τῷ ἄστεϊ οἱ στρατηγοὶ ἀπο-
πέμπουσι ἐς Σπάρτην κήρυκα Φειδιππίδην, Ἀθηναῖον μὲν
ἄνδρα, ἄλλως δὲ ἡμεροδρόμον τε καὶ τοῦτο μελετῶντα. Τότε
δὲ πεμφθεὶς ὑπὸ τῶν στρατηγῶν ὁ Φειδιππίδης οὗτος δευτε-
ραῖος ἐκ τοῦ Ἀθηναίων ἄστεος ἦν ἐν Σπάρτῃ, ἀπικόμενος
δὲ ἐπὶ τοὺς ἄρχοντας ἔλεγε· «Ὦ Λακεδαιμόνιοι, Ἀθηναῖοι
ὑμέων δέονται σφίσι βωθῆσαι καὶ μὴ περιιδεῖν πόλιν ἀρχαιο-
τάτην ἐν τοῖσι Ἕλλησι δουλοσύνῃ περιπεσοῦσαν πρὸς ἀνδρῶν
βαρβάρων· καὶ γὰρ νῦν Ἐρέτριά τε ἠνδραπόδισται καὶ πόλι
λογίμῳ ἡ Ἑλλὰς γέγονε ἀσθενεστέρη».
106 Ὁ μὲν δή σφι τὰ ἐντεταλμένα ἀπήγγελλε, τοῖσι δὲ ἕαδε
μὲν βωθέειν Ἀθηναίοισι, ἀδύνατα δέ σφι ἦν τὸ παραυτίκα
ποιέειν ταῦτα οὐ βουλομένοισι λύειν τὸν νόμον· ἦν γὰρ ἱστα-
μένου τοῦ μηνὸς εἰνάτη, εἰνάτῃ δὲ οὐκ ἐξελεύσεσθαι ἔφασαν
107 μὴ οὐ πλήρεος ἐόντος τοῦ κύκλου. Οὗτοι μέν νυν τὴν πανσέ-
ληνον ἔμενον, τοῖσι δὲ βαρβάροισι κατηγέετο Ἱππίης ὁ Πεισι-
στράτου ἐς τὸν Μαραθῶνα. Ἀθηναίοισι δὲ τεταγμένοισι ἐν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τεμένεϊ ῾Ηρακλέος ἐπῆλθον βωθέοντες Πλαταιέες πανδημεί· καὶ γὰρ καὶ ἐδεδώκεσαν σφέας αὐτοὺς τοῖσι ᾿Αθηναίοισι οἱ Πλαταιέες, καὶ πόνους ὑπὲρ αὐτῶν οἱ ᾿Αθηναῖοι συχνοὺς ἤδη ἀναραιρέατο.

Τοῖσι δὲ ᾿Αθηναίων στρατηγοῖσι ἐγίνοντο δίχα αἱ γνῶ- 108
μαι, τῶν μὲν οὐκ ἐώντων συμβαλεῖν ( ὀλίγους γὰρ εἶναι ) στρατιῇ τῇ Μήδων, τῶν δὲ καὶ Μιλτιάδεω κελευόντων. ῾Ως δὲ δίχα τε ἐγίνοντο καὶ ἐνίκα ἡ χείρων τῶν γνωμέων, ἐνθαῦτα, ἦν γὰρ ἑνδέκατος ψηφιδοφόρος ὁ τῷ κυάμῳ λαχὼν ᾿Αθηναίων πολεμαρχέειν ( τὸ παλαιὸν γὰρ ᾿Αθηναῖοι ὁμόψηφον τὸν πολέμαρχον ἐποιεῦντο τοῖσι στρατηγοῖσι ) — ἦν δὲ τότε πολέμαρχος Καλλίμαχος ᾿Αφιδναῖος —, πρὸς τοῦτον ἐλθὼν Μιλτιάδης ἔλεγε τάδε·

« ᾿Εν σοὶ νῦν, Καλλίμαχε, ἐστὶ ἢ καταδουλῶσαι ᾿Αθή- 109
νας ἢ ἐλευθέρας ποιήσαντα μνημόσυνον λιπέσθαι ἐς τὸν ἅπαντα ἀνθρώπων βίον, οἷον οὐδὲ ῾Αρμόδιός τε καὶ ᾿Αριστογείτων. Νῦν γὰρ δή, ἐξ οὗ ἐγένοντο ᾿Αθηναῖοι, ἐς κίνδυνον ἥκουσι μέγιστον, καὶ ἢν μέν γε ὑποκύψωσι τοῖσι Μήδοισι, δέδεκται, τὰ πείσονται παραδεδομένοι ῾Ιππίῃ, ἢν δὲ περιγένηται αὕτη ἡ πόλις, οἵη τέ ἐστι πρώτη τῶν ῾Ελληνίδων πολίων γενέσθαι. Κῶς ὦν δὴ ταῦτα οἷά τέ ἐστι γενέσθαι, καὶ κῶς ἐς σέ τοι τούτων ἀνήκει τῶν πρηγμάτων τὸ κῦρος ἔχειν, νῦν ἔρχομαι φράσων. ῾Ημέων τῶν στρατηγῶν ἐόντων δέκα δίχα γίνονται αἱ γνῶμαι, τῶν μὲν κελευόντων συμβάλλειν, τῶν δὲ οὔ. ῏Ην μέν νυν μὴ συμβάλωμεν, ἔλπομαί τινα στάσιν μεγάλην διασείσειν ἐμπεσοῦσαν τὰ ᾿Αθηναίων φρονήματα, ὥστε μηδίσαι· ἢν δὲ συμβάλωμεν, πρίν τι καὶ σαθρὸν ᾿Αθηναίων μετεξετέροισι ἐγγενέσθαι, θεῶν τὰ ἴσα νεμόντων οἷοί τέ εἰμεν περιγενέσθαι τῇ συμβολῇ. Ταῦτα ὦν πάντα ἐς σὲ νῦν τείνει καὶ ἐκ σέο ἤρτηται· ἢν γὰρ σὺ γνώμῃ τῇ ἐμῇ προσθῇ, ἔστι τοι πατρίς τε ἐλευθέρη καὶ πόλις πρώτη τῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐν τῇ Ἑλλάδι· ἣν δὲ τὴν τῶν ἀποσπευδόντων τὴν συμβολὴν ἕλῃ, ὑπάρξει τοι, τῶν ἐγὼ κατέλεξα ἀγαθῶν, τὰ ἐναντία ».

Ταῦτα λέγων ὁ Μιλτιάδης προσκτᾶται τὸν Καλλίμαχον· προσγενομένης δὲ τοῦ πολεμάρχου τῆς γνώμης ἐκεκύρωτο συμβάλλειν.

### γ') Ἡ ἐν Μαραθῶνι μάχη (490).
### (Κεφ. 110–117, 119–120)

110 Μετὰ δὲ οἱ στρατηγοί, τῶν ἡ γνώμη ἔφερε συμβάλλειν' ὡς ἑκάστου αὐτῶν ἐγίνετο πρυτανηίη τῆς ἡμέρης, Μιλτιάδῃ παρεδίδοσαν· ὁ δὲ δεκόμενος οὔτι κω συμβολὴν ἐποιέετο,
111 πρίν γε δὴ αὐτοῦ πρυτανηίη ἐγένετο. Ὡς δὲ ἐς ἐκεῖνον περιῆλθε, ἐνθαῦτα δὴ ἐτάσσοντο ὧδε οἱ Ἀθηναῖοι ὡς συμβαλέοντες· τοῦ μὲν δεξιοῦ κέρεος ἡγέετο ὁ πολέμαρχος Καλλίμαχος· ὁ γὰρ νόμος τότε εἶχε οὕτω τοῖσι Ἀθηναίοισι, τὸν πολέμαρχον ἔχειν κέρας τὸ δεξιόν. Ἡγεομένου δὲ τούτου ἐξεδέκοντο, ὡς ἠριθμέοντο, αἱ φυλαὶ ἐχόμεναι ἀλλήλων· τελευταῖοι δὲ ἐτάσσοντο ἔχοντες τὸ εὐώνυμον κέρας Πλαταιέες. Ἀπὸ ταύτης δὲ τῆς μάχης, θυσίας Ἀθηναίων ἀναγόντων ἐς τὰς πανηγύριας τὰς ἐν τῇσι πεντετηρίσι γινομένας, κατεύχεται ὁ κῆρυξ ὁ Ἀθηναῖος ἅμα τε Ἀθηναίοισι λέγων γίνεσθαι τὰ ἀγαθὰ καὶ Πλαταιεῦσι. Τότε δὲ τασσομένων τῶν Ἀθηναίων ἐν Μαραθῶνι ἐγίνετο τοιόνδε τι· τὸ στρατόπεδον ἐξισούμενον τῷ Μηδικῷ στρατοπέδῳ, τὸ μὲν αὐτοῦ μέσον ἐγίνετο ἐπὶ τάξις ὀλίγας, καὶ ταύτῃ ἦν ἀσθενέστατον τὸ στρατόπεδον, τὸ δὲ κέρας ἑκάτερον ἔρρωτο πλήθεϊ.

112 Ὡς δέ σφι διετέτακτο καὶ τὰ σφάγια ἐγίνετο καλά, ἐνθαῦτα, ὡς ἀπείθησαν οἱ Ἀθηναῖοι, δρόμῳ ἵεντο ἐς τοὺς βαρβάρους. Ἦσαν δὲ στάδιοι οὐκ ἐλάσσονες τὸ μεταίχμιον αὐτῶν ἢ ὀκτώ. Οἱ δὲ Πέρσαι ὁρέοντες δρόμῳ ἐπιόντας παρεσκευάζοντο ὡς δεξόμενοι, μανίην τε τοῖσι Ἀθηναίοισι ἐπέφε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρον καὶ πάγχυ ὀλεθρίην, ὁρέοντες αὐτοὺς ὀλίγους, καὶ τούτους δρόμῳ ἐπειγομένους οὔτε ἵππου ὑπαρχούσης σφι οὔτε τοξευμάτων. Ταῦτα μέν νυν οἱ βάρβαροι κατείκαζον· Ἀθηναῖοι δέ, ἐπείτε ἀθρόοι προσέμειξαν τοῖσι βαρβάροισι, ἐμάχοντο ἀξίως λόγου. Πρῶτοι μὲν γὰρ Ἑλλήνων πάντων, τῶν ἡμεῖς ἴδμεν, δρόμῳ ἐς πολεμίους ἐχρήσαντο, πρῶτοι δὲ ἀνέσχοντο ἐσθῆτά τε Μηδικὴν ὁρέοντες καὶ ἄνδρας τοὺς ταύτην ἐσθημένους· τέως δὲ ἦν τοῖσι Ἕλλησι καὶ τὸ οὔνομα τὸ Μήδων φόβος ἀκοῦσαι.

Μαχομένων δὲ ἐν τῷ Μαραθῶνι χρόνος ἐγίνετο πολλός. 113
Καὶ τὸ μὲν μέσον τοῦ στρατοπέδου ἐνίκων οἱ βάρβαροι, τῇ Πέρσαι τε αὐτοὶ καὶ Σάκαι ἐτετάχατο· κατὰ τοῦτο μὲν δὴ ἐνίκων οἱ βάρβαροι καὶ ῥήξαντες ἐδίωκον ἐς τὴν μεσόγαιαν, τὸ δὲ κέρας ἑκάτερον ἐνίκων Ἀθηναῖοί τε καὶ Πλαταιέες. Νικῶντες δὲ τὸ μὲν τετραμμένον τῶν βαρβάρων φεύγειν ἔων, τοῖσι δὲ τὸ μέσον ῥήξασι αὐτῶν συναγαγόντες τὰ κέρεα ἐμάχοντο, καὶ ἐνίκων Ἀθηναῖοι. Φεύγουσι δὲ τοῖσι Πέρσῃσι εἵποντο κόπτοντες, ἐς ὃ ἐπὶ τὴν θάλασσαν ἀπίκοντο· ἀπικόμενοι δὲ πῦρ τε αἴτεον καὶ ἐπελαμβάνοντο τῶν νεῶν. Καὶ τοῦτο 114
μὲν ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός, ἀπὸ δ' ἔθανε τῶν στρατηγῶν Στησίλεως ὁ Θρασύλεω· τοῦτο δὲ Κυνέγειρος ὁ Εὐφορίωνος ἐνθαῦτα ἐπιλαβόμενος τῶν ἀφλάστων νεός, τὴν χεῖρα ἀποκοπεὶς πελέκεϊ πίπτει, τοῦτο δὲ ἄλλοι Ἀθηναίων πολλοί τε καὶ οὐνομαστοί.

Ἑπτὰ μὲν δὴ τῶν νεῶν ἐπεκράτησαν τρόπῳ τοιούτῳ 115
Ἀθηναῖοι· τῇσι δὲ λοιπῇσι οἱ βάρβαροι ἐξανακρουσάμενοι καὶ ἀναλαβόντες ἐκ τῆς νήσου, ἐν τῇ ἔλιπον τὰ ἐξ Ἐρετρίης ἀνδράποδα, περιέπλεον Σούνιον, βουλόμενοι φθῆναι τοὺς Ἀθηναίους ἀπικόμενοι ἐς τὸ ἄστυ. Αἰτίη δὲ ἔσχε ἐν Ἀθηναίοισι ἐξ Ἀλκμεωνιδέων μηχανῆς αὐτοὺς ταῦτα ἐπινοηθῆναι· τούτους γὰρ συνθεμένους τοῖσι Πέρσῃσι ἀναδέξαι ἀσπίδα ἐοῦσι ἤδη ἐν τῇσι νηυσί. Οὗτοι μὲν δὴ περιέπλεον Σούνιον· Ἀθη- 116

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ναῖοι δέ, ὡς ποδῶν εἶχον, ἐβώθεον ἐς τὸ ἄστυ, καὶ ἔφθησάν τε ἀπικόμενοι, πρὶν ἢ τοὺς βαρβάρους ἥκειν, καὶ ἐστρατοπεδεύσαντο ἀπιγμένοι ἐξ Ἡρακλείου τοῦ ἐν Μαραθῶνι ἐν ἄλλῳ Ἡρακλείῳ τῷ ἐν Κυνοσάργεϊ. Οἱ δὲ βάρβαροι τῇσι νηυσὶ ὑπεραιωρηθέντες Φαλήρου ( τοῦτο γὰρ ἦν ἐπίνειον τότε τῶν Ἀθηναίων ) ὑπὲρ τούτου ἀνακωχεύσαντες τὰς νέας ἀπέπλεον
117 ὀπίσω ἐς τὴν Ἀσίην. Ἐν ταύτῃ τῇ ἐν Μαραθῶνι μάχῃ ἀπέθανον τῶν βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας, Ἀθηναίων δὲ ἑκατὸν καὶ ἐνενήκοντα καὶ δύο.

119 Τοὺς δὲ τῶν Ἐρετριέων ἠνδραποδισμένους Δᾶτίς τε καὶ Ἀρταφέρνης, ὡς προσέσχον ἐς τὴν Ἀσίην πλέοντες, ἀνήγαγον ἐς Σοῦσα. Βασιλεὺς δὲ Δαρεῖος, πρὶν μὲν αἰχμαλώτους γενέσθαι τοὺς Ἐρετριέας ἐνεῖχέ σφι δεινὸν χόλον, οἷα ἀρξάντων ἀδικίης προτέρων τῶν Ἐρετριέων· ἐπείτε δὲ εἶδέ σφεας ἀπαχθέντας παρ' ἑωυτόν, καὶ ὑποχειρίους ἑωυτῷ ἐόντας, ἐποίησε κακὸν ἄλλο οὐδέν, ἀλλά σφεας τῆς Κισσίης χώρης κατοίκισε ἐν σταθμῷ ἑωυτοῦ, τῷ οὔνομά ἐστι Ἀρδέρικκα, ἀπὸ Σούσων δέκα καὶ διηκοσίους σταδίους ἀπέχοντι. Ἐνθαῦτα τοὺς Ἐρετριέας κατοίκισε βασιλεύς, οἳ καὶ μέχρι ἐμέο εἶχον τὴν χώρην ταύτην, φυλάσσοντες τὴν ἀρχαίην γλῶσσαν. Τὰ μὲν δὴ περὶ Ἐρετριέας ἔσχε οὕτω.

120 Λακεδαιμονίων δὲ ἧκον ἐς τὰς Ἀθήνας δισχίλιοι μετὰ τὴν πανσέληνον, ἔχοντες σπουδὴν πολλὴν καταλαβεῖν οὕτω, ὥστε τριταῖοι ἐκ Σπάρτης ἐγένοντο ἐν τῇ Ἀττικῇ. Ὕστεροι δὲ ἀπικόμενοι τῆς συμβολῆς ἱμείροντο ὅμως θεήσασθαι τοὺς Μήδους· ἐλθόντες δὲ ἐς τὸν Μαραθῶνα ἐθεήσαντο. Μετὰ δὲ αἰνέοντες Ἀθηναίους καὶ τὸ ἔργον αὐτῶν ἀπαλλάσσοντο ὀπίσω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ

# ΠΟΛΥΜΝΙΑ

*[Ὁ Δαρεῖος μετὰ τὴν ἐν Μαραθῶνι μάχην ἤρχισε νὰ παρασκευάζεται εἰς νέαν ἐκστρατείαν κατὰ τῆς Ἑλλάδος. Ἐν τῷ μεταξὺ ὅμως ἀπέθανε καὶ διεδέχθη αὐτὸν ὁ υἱός του Ξέρξης. Οὗτος ἀποφασίζει αὐτοπροσώπως νὰ ἐπιχειρήσῃ τὴν τρίτην κατὰ τῆς Ἑλλάδος ἐκστρατείαν. Ἀφοῦ λοιπὸν ἐπὶ τέσσαρα ἔτη προητοιμάσθη, ἀνεχώρησε τὸ 480 ἀπὸ τὰς Σάρδεις μὲ ὅλον τὸν στρατόν του διευθυνόμενος πρὸς τὸν Ἑλλήσποντον, ὅπου εἶχε συναθροισθῇ καὶ ὅλος ὁ στόλος.*

*Ὁ περσικὸς στρατὸς διαβὰς τὸν Ἑλλήσποντον μετὰ πορείαν ὀλίγων ἡμερῶν συνηθροίσθη εἰς τὸν Δορίσκον, μεγάλην παραθαλάσσιον πεδιάδα τῆς Θρᾴκης, ὅπου πλεύσας ἐκ τοῦ Ἑλλησπόντου εἶχε φθάσει καὶ ὁ στόλος. Ἐδῶ ὁ Ξέρξης παρατάσσει καὶ ἀριθμεῖ τὸν στρατόν του· καὶ τὸ μὲν πλῆθος τοῦ πεζικοῦ στρατοῦ εὑρέθη ἓν ἑκατομμύριον ἑπτακόσιαι χιλιάδες, καὶ τοῦ ἱππικοῦ ὀγδοήκοντα χιλιάδες, ὁ δὲ ἀριθμὸς τῶν πολεμικῶν πλοίων ἔφθασεν εἰς χίλια διακόσια ἑπτά, καὶ τῶν φορτηγῶν καὶ ἱππαγωγῶν εἰς τρεῖς χιλιάδας.]*

## 1. Ὁ Ξέρξης ἐπιθεωρεῖ ἐν Δορίσκῳ τὸν πεζικὸν καὶ ναυτικὸν στρατόν.— Διάλογος Ξέρξου καὶ Δημαράτου.

## (Κεφ. 100-105)

Ξέρξης δέ, ἐπεὶ ἠριθμήθη τε καὶ διετάχθη ὁ στρατός, ἐπε- 100
θύμησε αὐτός σφεας διεξελάσας θεήσασθαι. Μετὰ δὲ ἐποίεε τοῦτο, καὶ διεξελαύνων ἐπὶ ἅρματος παρὰ ἔθνος ἓν ἕκαστον ἐπυνθάνετο, καὶ ἀπέγραφον οἱ γραμματισταί, ἕως ἐξ ἐσχάτων ἐς ἔσχατα ἀπίκετο καὶ τῆς ἵππου καὶ τοῦ πεζοῦ. Ὡς δὲ ταῦτά οἱ ἐπεποίητο, τῶν νεῶν κατελκυσθεισέων ἐς θάλασσαν, ἐνθαῦτα ὁ Ξέρξης μετεκβὰς ἐκ τοῦ ἅρματος ἐς νέα Σιδωνίην

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἵζετο ὑπὸ σκηνῇ χρυσέῃ καὶ παρέπλεε παρὰ τὰς πρῴρας τῶν νεῶν, ἐπειρωτῶν τε ἑκάστας ὁμοίως καὶ τὸν πεζὸν καὶ ἀπογραφόμενος. Τὰς δὲ νέας οἱ ναύαρχοι ἀναγαγόντες ὅσον τε τέσσερα πλέθρα ἀπὸ τοῦ αἰγιαλοῦ ἀνεκώχευον, τὰς πρῴρας ἐς γῆν τρέψαντες πάντες μετωπηδὸν καὶ ἐξοπλίσαντες τοὺς ἐπιβάτας ὡς ἐς πόλεμον. Ὁ δ' ἐντὸς τῶν πρῳρέων πλέων ἐθηέετο καὶ τοῦ αἰγιαλοῦ.

101 Ὡς δὲ καὶ ταύτας διεξέπλωσε καὶ ἐξέβη ἐκ τῆς νεός, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος συστρατευόμενον αὐτῷ ἐπὶ τὴν Ἑλλάδα, καλέσας δ' αὐτὸν εἴρετο τάδε· « Δημάρητε, νῦν μοί σε ἡδύ ἐστι εἰρέσθαι, τὰ θέλω. Σὺ εἶς Ἕλλην τε καί, ὡς ἐγὼ πυνθάνομαι σεῦ τε καὶ τῶν ἄλλων Ἑλλήνων τῶν ἐμοὶ ἐς λόγους ἀπικνεομένων, πόλιος οὔτ' ἐλαχίστης οὔτ' ἀσθενεστάτης. Νῦν ὦν μοι τόδε φράσον, εἰ Ἕλληνες ὑπομενέουσι χεῖρας ἐμοὶ ἀνταειρόμενοι. Οὐ γάρ, ὡς ἐγὼ δοκέω, οὐδ' εἰ πάντες Ἕλληνες καὶ οἱ λοιποὶ οἱ πρὸς ἑσπέρης οἰκέοντες ἄνθρωποι συλλεχθείησαν, οὐκ ἀξιόμαχοί εἰσι ἐμὲ ἐπιόντα ὑπομεῖναι μὴ ἐόντες ἄρθμιοι. Θέλω μέντοι καὶ τὸ ἀπὸ σεῦ, ὁκοῖόν τι λέγεις περὶ αὐτῶν, πυθέσθαι ». Ὁ μὲν ταῦτα εἰρώτα, ὁ δὲ ὑπολαβὼν ἔφη· « Βασιλεῦ, κότερα ἀληθείῃ χρήσωμαι πρὸς σὲ ἢ ἡδονῇ ; » Ὁ δέ μιν ἀληθείῃ χρήσασθαι ἐκέλευε, φὰς οὐδέν οἱ ἀηδέστερον ἔσεσθαι ἢ πρότερον ἦν.

102 Ὡς δὲ ταῦτα ἤκουσε Δημάρητος, ἔλεγε τάδε· « Βασιλεῦ, ἐπειδὴ ἀληθείῃ χρήσασθαι πάντως με κελεύεις ταῦτα λέγοντα, τὰ μὴ ψευδόμενός τις ὕστερον ὑπὸ σεῦ ἁλώσεται, ἴσθι, ὅτι τῇ Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφός ἐστι, ἀρετὴ δὲ ἔπακτός ἐστι, ἀπό τε σοφίης κατεργασμένη καὶ νόμου ἰσχυροῦ· τῇ διαχρεωμένη ἡ Ἑλλὰς τήν τε πενίην ἀπαμύνεται καὶ τὴν δεσποσύνην. Αἰνέω μέν νυν πάντας Ἕλληνας τοὺς περὶ ἐκείνους τοὺς Δωρικοὺς χώρους οἰκημένους, ἔρχομαι δὲ λέξων οὐ περὶ πάντων τούσδε τοὺς λόγους, ἀλλὰ περὶ Λακεδαιμονίων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μούνων, πρῶτα μὲν ὅτι οὐκ ἔστι ὅκως κοτὲ σοὺς δέξονται λόγους δουλοσύνην φέροντας τῇ Ἑλλάδι, αὖτις δὲ ὡς ἀντιώσονταί τοι ἐς μάχην, καὶ ἢν οἱ ἄλλοι Ἕλληνες πάντες τὰ σὰ φρονέωσι. Ἀριθμοῦ δὲ πέρι μὴ πύθῃ, ὅσοι τινὲς ἐόντες ταῦτα ποιέειν οἷοί τέ εἰσι· ἤν τε γὰρ τύχωσι ἐξεστρατευμένοι χίλιοι, οὗτοι μαχήσονταί τοι, ἤν τε ἐλάσσονες τούτων, ἤν τε καὶ πλεῦνες ».

Ταῦτα ἀκούσας Ξέρξης γελάσας ἔφη· « Δημάρητε, οἷον 103
ἐφθέγξαο ἔπος, ἄνδρας χιλίους στρατιῇ τοσῇδε μαχήσεσθαι. Κῶς ἂν δυναίατο χίλιοι ἢ καὶ μύριοι ἢ καὶ πεντακισμύριοι, ἐόντες γε ἐλεύθεροι πάντες ὁμοίως καὶ μὴ ὑπ' ἑνὸς ἀρχόμενοι, στρατῷ τοσῷδε ἀντιστῆναι; Ἐπεί τοι πλεῦνες περὶ ἕνα ἕκαστον γινόμεθα ἢ χίλιοι, ἐόντων ἐκείνων πέντε χιλιάδων. Ὑπὸ μὲν γὰρ ἑνὸς ἀρχόμενοι κατὰ τρόπον τὸν ἡμέτερον γενοίατ' ἄν, δειμαίνοντες τοῦτον, καὶ παρὰ τὴν ἑωυτῶν φύσιν ἀμείνονες, καὶ ἴοιεν ἀναγκαζόμενοι μάστιγι ἐς πλεῦνας ἐλάσσονες ἐόντες· ἀνειμένοι δὲ ἐς τὸ ἐλεύθερον οὐκ ἂν ποιέοιεν τούτων οὐδέτερα. Δοκέω δὲ ἔγωγε καὶ ἀνισωθέντας πλήθεϊ χαλεπῶς ἂν Ἕλληνας Πέρσῃσι μούνοισι μάχεσθαι ».

Πρὸς ταῦτα Δημάρητος λέγει· « Ὦ βασιλεῦ, ἀρχῆθεν 104
ἠπιστάμην, ὅτι ἀληθείῃ χρώμενος οὐ φίλα τοι ἐρέω. Σὺ δὲ ἐπεὶ ἠνάγκασας λέγειν τῶν λόγων τοὺς ἀληθεστάτους, ἔλεγον τὰ κατήκοντα Σπαρτιήτῃσι. Καίτοι ὡς ἐγὼ τυγχάνω τὰ νῦν τάδε ἐστοργὼς ἐκείνους, αὐτὸς μάλιστα ἐξεπίστεαι, οἵ με τιμήν τε καὶ γέρεα ἀπελόμενοι πατρώια ἄπολίν τε καὶ φυγάδα πεποιήκασι, πατὴρ δὲ σὸς ὑποδεξάμενος βίον τέ μοι καὶ οἶκον ἔδωκε. Οὐκ ὦν οἰκός ἐστι ἄνδρα τὸν σώφρονα εὔνοιαν φαινομένην διωθέεσθαι, ἀλλὰ στέργειν μάλιστα. Οἱ δὲ Λακεδαιμόνιοι κατὰ μὲν ἕνα μαχόμενοι οὐδαμῶν εἰσι κακίονες ἀνδρῶν, ἁλέες δὲ ἄριστοι ἀνδρῶν ἁπάντων. Ἐλεύθεροι γὰρ ἐόντες οὐ πάντα ἐλεύθεροί εἰσι· ἔπεστι γάρ σφι δεσπότης νό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μος, τὸν ὑποδειμαίνουσι πολλῷ ἔτι μᾶλλον ἢ οἱ σοὶ σέ. Ποιεῦσι γῶν, τὰ ἂν ἐκεῖνος ἀνώγῃ· ἀνώγει δὲ τὠυτὸ αἰεί, οὐκ ἐῶν φεύγειν οὐδὲν πλῆθος ἀνθρώπων ἐκ μάχης, ἀλλὰ μένοντας ἐν τῇ τάξι ἐπικρατέειν ἢ ἀπόλλυσθαι. Σοὶ δὲ εἰ φαίνομαι ταῦτα λέγων φλυηρέειν, τἆλλα σιγᾶν θέλω τὸ λοιπόν· νῦν δὲ ἀναγκασθεὶς ἔλεξα. Γένοιτο μέντοι κατὰ νόον τοι, βασιλεῦ».

105 Ὁ μὲν δὴ ταῦτα ἀμείψατο, Ξέρξης δὲ ἐς γέλωτά τε ἔτρεψε καὶ οὐκ ἐποιήσατο ὀργὴν οὐδεμίαν, ἀλλ' ἠπίως αὐτὸν ἀπεπέμψατο.

*[Ἀπὸ τὸν Δορίσκον ὁ Ξέρξης ἐξακολουθεῖ τὴν διὰ τῆς Θράκης πρὸς τὴν Μακεδονίαν πορείαν. Οἱ Ἕλληνες κατανοήσαντες τὸν ἐπικρεμάμενον κατὰ τῆς Ἑλλάδος κίνδυνον συνῆλθον εἰς σύνοδον ἐν τῷ Ἰσθμῷ τῆς Κορίνθου· ἐδῶ ἀποφασίζεται 1) νὰ καταληφθῇ διὰ στρατοῦ τὸ στενὸν τῶν Θερμοπυλῶν, ἵνα ἐμποδισθῇ ἡ πρὸς τὰ πρόσω πορεία τοῦ Ξέρξου, ὁ ὁποῖος ἐν τῷ μεταξὺ εἶχεν εἰσβάλει διὰ τῆς Θεσσαλίας εἰς τὴν Μαλίδα χώραν, καὶ 2) νὰ πλεύσῃ ὅλος ὁ ἑλληνικὸς στόλος εἰς τὸ Ἀρτεμίσιον, ἵνα ἀντιταχθῇ κατὰ τοῦ περσικοῦ.]*

## 2. Ἡ ἐν Θερμοπύλαις μάχη (480).

## (Κεφ. 201 - 213, 215 - 228)

### α') Τὰ πρὸ τῆς μάχης.

### (Κεφ. 201 – 209)

201 Βασιλεὺς μὲν δὴ Ξέρξης ἐστρατοπεδεύετο τῆς Μηλίδος ἐν τῇ Τρηχινίῃ, οἱ δὲ Ἕλληνες ἐν τῇ διόδῳ· καλέεται δὲ ὁ χῶρος οὗτος ὑπὸ μὲν τῶν πλεόνων Ἑλλήνων Θερμοπύλαι, ὑπὸ δὲ τῶν ἐπιχωρίων καὶ περιοίκων Πύλαι. Ἐστρατοπεδεύοντο μέν νυν ἑκάτεροι ἐν τούτοισι τοῖσι χωρίοισι, ἐπεκράτεε δὲ ὁ μὲν τῶν πρὸς βορέην ἄνεμον ἐχόντων πάντων μέχρι Τρηχῖνος, οἱ δὲ τῶν πρὸς νότον καὶ μεσαμβρίην φερόντων ἐπὶ ταύτης τῆς ἠπείρου.

202 Ἦσαν δὲ οἵδε Ἑλλήνων οἱ ὑπομένοντες τὸν Πέρσην ἐν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



Θερμοπύλαι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τούτῳ τῷ χώρῳ· Σπαρτιητέων τε τριηκόσιοι ὁπλῖται καὶ Τεγεητέων καὶ Μαντινέων χίλιοι, ἡμίσεες ἑκατέρων, ἐξ Ὀρχομενοῦ τε τῆς Ἀρκαδίης εἴκοσι καὶ ἑκατὸν καὶ ἐκ τῆς λοιπῆς Ἀρκαδίης χίλιοι· τοσοῦτοι μὲν Ἀρκάδων, ἀπὸ δὲ Κορίνθου τετρακόσιοι καὶ ἀπὸ Φλειοῦντος διηκόσιοι καὶ Μυκηναίων ὀγδώκοντα. Οὗτοι μὲν ἀπὸ Πελοποννήσου παρῆσαν, ἀπὸ δὲ Βοιωτῶν Θεσπιέων τε ἑπτακόσιοι καὶ Θηβαίων τετρακόσιοι.
203 Πρὸς τούτοισι ἐπίκλητοι ἐγένοντο Λοκροί τε οἱ Ὀπούντιοι πανστρατιῇ καὶ Φωκέων χίλιοι. Αὐτοὶ γάρ σφεας οἱ Ἕλληνες ἐπεκαλέσαντο λέγοντες δι' ἀγγέλων, ὡς αὐτοὶ μὲν ἥκοιεν πρόδρομοι τῶν ἄλλων, οἱ δὲ λοιποὶ τῶν συμμάχων προσδόκιμοι πᾶσαν εἶεν ἡμέρην, ἡ θάλασσά τε σφι εἴη ἐν φυλακῇ ὑπ' Ἀθηναίων τε φρουρεομένη καὶ Αἰγινητέων καὶ τῶν ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντων, καί σφι εἴη δεινὸν οὐδέν· οὐ γὰρ θεὸν εἶναι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα, ἀλλ' ἄνθρωπον· εἶναι δὲ θνητὸν οὐδένα οὐδὲ ἔσεσθαι, τῷ κακὸν ἐξ ἀρχῆς γινομένῳ οὐ συνεμείχθη, τοῖσι δὲ μεγίστοισι αὐτῶν μέγιστα· ὀφείλειν ὦν καὶ τὸν ἐπελαύνοντα, ὡς ἐόντα θνητόν, ἀπὸ τῆς δόξης πεσεῖν. Οἱ δὲ ταῦτα πυνθανόμενοι ἐβώθεον ἐς τὴν Τρηχῖνα.

204 Τούτοισι ἦσαν μέν νυν καὶ ἄλλοι στρατηγοὶ κατὰ πόλις ἑκάστων, ὁ δὲ θωμαζόμενος μάλιστα καὶ παντὸς τοῦ στρατεύματος ἡγεόμενος Λακεδαιμόνιος ἦν Λεωνίδης ὁ Ἀναξανδρίδεω, κτησάμενος τὴν βασιληίην ἐν Σπάρτῃ ἐξ ἀπροσδοκή-
205 του. Οὗτος ὁ Λεωνίδης τότε ἤιε ἐς Θερμοπύλας ἐπιλεξάμενος ἄνδρας τε τοὺς κατεστεῶτας τριηκοσίους καὶ τοῖσι ἐτύγχανον παῖδες ἐόντες. Παραλαβὼν δὲ ἀπίκετο καὶ Θηβαίων, τοὺς ἐς τὸν ἀριθμὸν λογισάμενος εἶπον, τῶν ἐστρατήγεε Λεοντιάδης ὁ Εὐρυμάχου. Τοῦδε δὲ εἵνεκεν τούτους σπουδὴν ἐποιήσατο Λεωνίδης μούνους Ἑλλήνων παραλαβεῖν, ὅτι σφέων μεγάλως κατηγόρητο μηδίζειν· παρεκάλεε ὦν ἐς τὸν πόλεμον θέλων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰδέναι, εἴτε συμπέμψουσι εἴτε καὶ ἀπερέουσι ἐκ τοῦ ἐμφανέος τὴν Ἑλλήνων συμμαχίην. Οἱ δὲ ἄλλα φρονέοντες ἔπεμπον.

Τούτους μὲν τοὺς ἀμφὶ Λεωνίδην πρώτους ἀπέπεμψαν 206
Σπαρτιῆται, ἵνα τούτους ὁρέοντες οἱ ἄλλοι σύμμαχοι στρατεύωνται μηδὲ καὶ οὗτοι μηδίσωσι, ἢν αὐτοὺς πυνθάνωνται ὑπερβαλλομένους· μετὰ δέ, Κάρνεια γάρ σφι ἦν ἐμποδών, ἔμελλον ὁρτάσαντες καὶ φυλακὰς λιπόντες ἐν τῇ Σπάρτῃ κατὰ τάχος βωθέειν πανδημεί. Ὣς δὲ καὶ οἱ λοιποὶ τῶν συμμάχων ἐνένωντο καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιήσειν· ἦν γὰρ κατὰ τωὐτὸ Ὀλυμπιὰς τούτοισι τοῖσι πρήγμασι συμπεσοῦσα· οὐκ ὦν δοκέοντες κατὰ τάχος οὕτω διακριθήσεσθαι τὸν ἐν Θερμοπύλῃσι πόλεμον ἔπεμπον τοὺς προδρόμους.

Οὗτοι μὲν δὴ οὕτω διενένωντο ποιήσειν· οἱ δὲ ἐν Θερμο- 207
πύλῃσι Ἕλληνες, ἐπειδὴ πέλας ἐγένετο τῆς ἐσβολῆς ὁ Πέρσης, καταρρωδέοντες ἐβουλεύοντο περὶ ἀπαλλαγῆς. Τοῖσι μέν νυν ἄλλοισι Πελοποννησίοισι ἐδόκεε ἐλθοῦσι ἐς Πελοπόννησον τὸν Ἰσθμὸν ἔχειν ἐν φυλακῇ· Λεωνίδης δέ, Φωκέων καὶ Λοκρῶν περισπερχθέντων τῇ γνώμῃ ταύτῃ, αὐτοῦ τε μένειν ἐψηφίζετο πέμπειν τε ἀγγέλους ἐς τὰς πόλις κελεύοντάς σφι ἐπιβωθέειν, ὡς ἐόντων αὐτῶν ὀλίγων στρατὸν τὸν Μήδων ἀλέξασθαι.

Ταῦτα βουλευομένων σφέων ἔπεμπε Ξέρξης κατάσκοπον 208
ἱππέα ἰδέσθαι, ὁκόσοι εἰσὶ καὶ ὅ τι ποιέοιεν· ἀκηκόεε γὰρ ἔτι ἐὼν ἐν Θεσσαλίῃ, ὡς ἁλισμένη εἴη ταύτῃ στρατιὴ ὀλίγη, καὶ τοὺς ἡγεμόνας, ὡς εἴησαν Λακεδαιμόνιοί τε καὶ Λεωνίδης, ἐὼν γένος Ἡρακλείδης. Ὡς δὲ προσήλασε ὁ ἱππεὺς πρὸς τὸ στρατόπεδον, ἐθηεῖτό τε καὶ κατώρα πᾶν μὲν οὒ τὸ στρατόπεδον· τοὺς γὰρ ἔσω τεταγμένους τοῦ τείχεος, τὸ ἀνορθώσαντες εἶχον ἐν φυλακῇ, οὐκ οἷά τε ἦν κατιδέσθαι· ὁ δὲ τοὺς ἔξω ἐμάνθανε, τοῖσι πρὸ τοῦ τείχεος τὰ ὅπλα ἐκέετο. Ἔτυχον δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦτον τὸν χρόνον Λακεδαιμόνιοι ἔξω τεταγμένοι. Τοὺς μὲν δὴ ὥρα γυμναζομένους τῶν ἀνδρῶν, τοὺς δὲ τὰς κόμας κτενιζομένους. Ταῦτα δὴ θηεύμενος ἐθώμαζε καὶ τὸ πλῆθος ἐμάνθανε. Μαθὼν δὲ πάντα ἀτρεκέως ἀπήλαυνε ὀπίσω κατ' ἡσυχίην· οὔτε γάρ τις ἐδίωκε ἀλογίης τε ἐκύρησε πολλῆς· ἀπελθὼν τε ἔλεγε πρὸς Ξέρξην, τά περ ὀπώπεε πάντα.

209 Ἀκούων δὲ Ξέρξης οὐκ εἶχε συμβαλέσθαι τὸ ἐόν, ὅτι παρεσκευάζοντο ὡς ἀπολεόμενοί τε καὶ ἀπολέοντες κατὰ δύναμιν· ἀλλ' αὐτῷ γελοῖα γὰρ ἐφαίνοντο ποιέειν, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος ἐόντα ἐν τῷ στρατοπέδῳ. Ἀπικόμενον δέ μιν εἰρώτα Ξέρξης ἕκαστα τούτων, θέλων μαθεῖν τὸ ποιεύμενον πρὸς τῶν Λακεδαιμονίων. Ὁ δὲ εἶπε· « Ἤκουσας μέν μευ καὶ πρότερον, εὖτε ὡρμέομεν ἐπὶ τὴν Ἑλλάδα, περὶ τῶν ἀνδρῶν τούτων· ἀκούσας δὲ γέλωτά με ἔθευ λέγοντα, τῇ περ ὥρων ἐκβησόμενα τὰ πρήγματα ταῦτα· ἐμοὶ γὰρ τὴν ἀληθείην ἀσκέειν ἀντία σεῦ, ὦ βασιλεῦ, ἀγὼν μέγιστός ἐστι. Ἄκουσον δὲ καὶ νῦν. Οἱ ἄνδρες οὗτοι ἀπίκαται μαχησόμενοι ἡμῖν περὶ τῆς ἐσόδου, καὶ ταῦτα παρασκευάζονται. Νόμος γάρ σφι οὕτω ἔχων ἐστί· ἐπεὰν μέλλωσι κινδυνεύειν τῇ ψυχῇ, τότε τὰς κεφαλὰς κοσμέονται. Ἐπίστασο δὲ ὅτι, εἰ τούτους τε καὶ τὸ ὑπομένον ἐν Σπάρτῃ καταστρέψεαι, ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων, τὸ σέ, βασιλεῦ, ὑπομενέει χεῖρας ἀνταειρόμενον· νῦν γὰρ πρὸς βασιληίην τε καὶ πόλιν καλλίστην τῶν ἐν Ἕλλησι προσφέρεαι καὶ ἄνδρας ἀρίστους ». Κάρτα τε δὴ ἄπιστα Ξέρξῃ ἐφαίνετο τὰ λεγόμενα εἶναι καὶ δεύτερα ἐπειρώτα, ὅντινα τρόπον τοσοῦτοι ἐόντες τῇ ἑωυτοῦ στρατιῇ μαχήσονται. Ὁ δὲ εἶπε· « Ὦ βασιλεῦ, ἐμοὶ χρᾶσθαι ὡς ἀνδρὶ ψεύστῃ, ἢν μὴ ταῦτά τοι ταύτῃ ἐκβῇ, τῇ ἐγὼ λέγω ». Ταῦτα λέγων οὐκ ἔπειθε τὸν Ξέρξην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### β') Διήμερος μάχη ἐν τῷ στενῷ.
### (Κεφ. 210-212)

Ξέρξης τέσσερας μὲν δὴ παρεξῆκε ἡμέρας, ἐλπίζων αἰεί σφεας ἀποδρήσεσθαι· πέμπτῃ δέ, ὡς οὐκ ἀπαλλάσσοντο, ἀλλά οἱ ἐφαίνοντο ἀναιδείῃ τε καὶ ἀβουλίῃ διαχρεώμενοι μένειν, πέμπει ἐπ' αὐτοὺς Μήδους τε καὶ Κισσίους θυμωθείς, ἐντειλάμενός σφεας ζωγρήσαντας ἄγειν ἐς ὄψιν τὴν ἑωυτοῦ. Ὡς δ' ἐσέπεσον φερόμενοι ἐς τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοί, ἄλλοι δ' ἐπεσήισαν, καὶ οὐκ ἀπήλαυνον, καίπερ μεγάλως προσπταίοντες. Δῆλον δ' ἐποίευν παντί τεῳ καὶ οὐκ ἥκιστα αὐτῷ βασιλέϊ, ὅτι πολλοὶ μὲν ἄνθρωποι εἶεν, ὀλίγοι δὲ ἄνδρες. Ἐγίνετο δὲ ἡ συμβολὴ δι' ἡμέρης. 210

Ἐπείτε δὲ οἱ Μῆδοι τρηχέως περιείποντο, ἐνθαῦτα οὗτοι μὲν ὑπεξήισαν, οἱ δὲ Πέρσαι ἐκδεξάμενοι ἐπήισαν, τοὺς ἀθανάτους ἐκάλεε βασιλεύς, τῶν ἦρχε Ὑδάρνης, ὡς δὴ οὗτοί γε εὐπετέως κατεργασόμενοι. Ὡς δὲ καὶ οὗτοι συνέμισγον τοῖσι Ἕλλησι, οὐδὲν πλέον ἐφέροντο τῆς στρατιῆς τῆς Μηδικῆς, ἀλλὰ τὰ αὐτά, ἅτε ἐν στεινοπόρῳ τε χώρῳ μαχόμενοι καὶ δούρασι βραχυτέροισι χρεώμενοι ἤπερ οἱ Ἕλληνες, καὶ οὐκ ἔχοντες πλήθεϊ χρήσασθαι. Λακεδαιμόνιοι δὲ ἐμάχοντο ἀξίως λόγου, ἄλλα τε ἀποδεικνύμενοι ἐν οὐκ ἐπισταμένοισι μάχεσθαι ἐξεπιστάμενοι καί, ὅκως ἐντρέψειαν τὰ νῶτα, ἁλέες φεύγεσκον δῆθεν· οἱ δὲ βάρβαροι ὁρέοντες φεύγοντας βοῇ τε καὶ πατάγῳ ἐπήισαν· οἱ δ' ἂν καταλαμβανόμενοι ὑπέστρεφον ἀντίοι εἶναι τοῖσι βαρβάροισι, μεταστρεφόμενοι δὲ κατέβαλλον πλήθεϊ ἀναριθμήτους τῶν Περσέων· ἔπιπτον δὲ καὶ αὐτῶν τῶν Σπαρτιητέων ἐνθαῦτα ὀλίγοι. Ἐπεὶ δὲ οὐδὲν ἐδυνέατο παραλαβεῖν οἱ Πέρσαι τῆς ἐσόδου πειρώμενοι καὶ κατὰ τέλεα καὶ παντοίως προσβάλλοντες, ἀπήλαυνον ὀπίσω. 211

Ἐν ταύτῃσι τῇσι προσόδοισι τῆς μάχης λέγεται βασιλέα θηεύμενον τρὶς ἀναδραμεῖν ἐκ τοῦ θρόνου, δείσαντα περὶ τῇ 212



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στρατιῇ. Τότε μὲν οὕτω ἠγωνίσαντο, τῇ δὲ ὑστεραίῃ οἱ βάρβαροι οὐδὲν ἄμεινον ἀέθλεον· ἅτε γὰρ ὀλίγων ἐόντων, ἐλπίσαντές σφεας κατατετρωματίσθαι τε καὶ οὐκ οἵους τε ἔσεσθαι ἔτι χεῖρας ἀνταείρασθαι συνέβαλλον. Οἱ δὲ Ἕλληνες κατὰ τάξις τε καὶ κατὰ ἔθνεα κεκοσμημένοι ἦσαν, καὶ ἐν μέρεϊ ἕκαστοι ἐμάχοντο πλὴν Φωκέων· οὗτοι δὲ ἐς τὸ οὖρος ἐτάχθησαν φυλάξοντες τὴν ἀτραπόν. Ὡς δὲ οὐδὲν εὕρισκον ἀλλοιότερον οἱ Πέρσαι, ἢ τῇ προτεραίῃ ἐνώρων, ἀπήλαυνον.

### γ') Προδοσία τοῦ Ἐφιάλτου.
### (Κεφ. 213, 215-218)

213 Ἀπορέοντος δὲ βασιλέος, ὅ τι χρήσηται τῷ παρεόντι πρήγματι, Ἐπιάλτης ὁ Εὐρυδήμου, ἀνὴρ Μηλιεύς, ἦλθέ οἱ ἐς λόγους· ὃς μέγα τι παρὰ βασιλέος δοκέων οἴσεσθαι ἔφρασέ τε τὴν ἀτραπὸν τὴν διὰ τοῦ οὔρεος φέρουσαν ἐς Θερμοπύλας καὶ διέφθειρε τοὺς ταύτῃ ὑπομείναντας Ἑλλήνων. Ὕστερον δὲ δείσας Λακεδαιμονίους ἔφυγε ἐς Θεσσαλίην, καὶ οἱ φυγόντι ὑπὸ τῶν Πυλαγόρων τῶν ἐς τὴν Πυλαίην συλλεγομένων ἀργύριον ἐπεκηρύχθη. Χρόνῳ δὲ ὕστερον ( κατῆλθε γὰρ ἐς Ἀντικύρην ) ἀπέθανε ὑπὸ Ἀθηνάδεω, ἀνδρὸς Τρηχινίου.

215 Ξέρξης δέ, ἐπεί οἱ ἤρεσε, τὰ ὑπέσχετο Ἐπιάλτης κατεργάσεσθαι, αὐτίκα περιχαρὴς γενόμενος ἔπεμπε Ὑδάρνεα καὶ τῶν ἐστρατήγεε Ὑδάρνης· ὡρμέατο δὲ περὶ λύχνων ἀφὰς ἐκ τοῦ στρατοπέδου. Τὴν δὲ ἀτραπὸν ταύτην ἐξεῦρον μὲν οἱ ἐπιχώριοι Μηλιέες, ἐξευρόντες δὲ Θεσσαλοῖσι κατηγήσαντο ἐπὶ Φωκέας τότε, ὅτε οἱ Φωκέες φράξαντες τείχεϊ τὴν ἐσβολὴν ἦσαν ἐν σκέπῃ τοῦ πολέμου· ἐκ τόσου δὴ κατεδέδεκτο ἐοῦσα οὐδὲν χρηστὴ Μηλιεῦσι.

216 Ἔχει δὲ ὧδε ἡ ἀτραπὸς αὕτη· ἄρχεται μὲν ἀπὸ τοῦ Ἀσωποῦ ποταμοῦ τοῦ διὰ τῆς διασφάγος ῥέοντος, οὔνομα δὲ τῷ οὔρεϊ τούτῳ καὶ τῇ ἀτραπῷ τωὐτὸ κέεται, Ἀνόπαια· τείνει

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ ἡ Ἀνόπαια αὕτη κατὰ ῥάχιν τοῦ οὔρεος, λήγει δὲ κατὰ Ἀλπηνὸν πόλιν, πρώτην ἐοῦσαν τῶν Λοκρίδων πρὸς τῶν Μη-
λιέων. Κατὰ ταύτην δὴ τὴν ἀτραπὸν οἱ Πέρσαι, τὸν Ἀσωπὸν 217
διαβάντες, ἐπορεύοντο πᾶσαν τὴν νύκτα, ἐν δεξιῇ μὲν ἔχοντες οὔρεα τὰ Οἰταίων, ἐν ἀριστερῇ δὲ τὰ Τρηχινίων. Ἠώς τε δὴ διέφαινε, καὶ οἳ ἐγένοντο ἐπ' ἀκρωτηρίῳ τοῦ οὔρεος. Κατὰ δὲ τοῦτο τοῦ οὔρεος ἐφύλασσον, ὡς καὶ πρότερόν μοι δεδήλωται, Φωκέων χίλιοι ὁπλῖται, ῥυόμενοί τε τὴν σφετέρην χώρην καὶ φρουρέοντες τὴν ἀτραπόν. Ἡ μὲν γὰρ κάτω ἐσβολὴ ἐφυλάσσετο ὑπὸ τῶν εἴρηται· τὴν δὲ διὰ τοῦ οὔρεος ἀτραπὸν ἐθελονταὶ Φωκέες ὑποδεξάμενοι Λεωνίδῃ ἐφύλασσον.

Ἔμαθον δέ σφεας οἱ Φωκέες ὧδε ἀναβεβηκότας· ἀναβαί- 218
νοντες γὰρ ἐλάνθανον οἱ Πέρσαι τὸ οὖρος πᾶν ἐὸν δρυῶν ἐπίπλεον. Ἦν μὲν δὴ νηνεμίη, ψόφου δὲ γινομένου πολλοῦ, ὡς οἰκὸς ἦν φύλλων ὑποκεχυμένων ὑπὸ τοῖσι ποσί, ἀνά τε ἔδραμον οἱ Φωκέες καὶ ἐνέδυνον τὰ ὅπλα, καὶ αὐτίκα οἱ βάρβαροι παρῆσαν. Ὡς δὲ εἶδον ἄνδρας ἐνδυομένους ὅπλα, ἐν θώματι ἐγένοντο· ἐλπόμενοι γὰρ οὐδέν σφι φανήσεσθαι ἀντίξοον ἐνεκύρησαν στρατῷ. Ἐνθαῦτα Ὑδάρνης καταρρωδήσας, μὴ οἱ Φωκέες ἔωσι Λακεδαιμόνιοι, εἴρετο Ἐπιάλτην, ὁποδαπὸς εἴη ὁ στρατός, πυθόμενος δὲ ἀτρεκέως διέτασσε τοὺς Πέρσας ὡς ἐς μάχην. Οἱ δὲ Φωκέες, ὡς ἐβάλλοντο τοῖσι τοξεύμασι πολλοῖσί τε καὶ πυκνοῖσι, οἴχοντο φεύγοντες ἐπὶ τοῦ οὔρεος τὸν κόρυμβον ἐπιστάμενοι, ὡς ἐπὶ σφέας ὡρμήθησαν ἀρχήν, καὶ παρεσκευάδατο ὡς ἀπολεόμενοι. Οὗτοι μὲν δὴ ταῦτα ἐφρόνεον, οἱ δὲ ἀμφὶ Ἐπιάλτην καὶ Ὑδάρνεα Πέρσαι Φωκέων μὲν οὐδένα λόγον ἐποιεῦντο, οἱ δὲ κατέβαινον τὸ οὖρος κατὰ τάχος.

**δ') Ἡ ὑπὸ τοῦ Λεωνίδου ἀποπομπὴ τῶν συμμάχων.**
**(Κεφ. 219–222)**

Τοῖσι δὲ ἐν Θερμοπύλῃσι ἐοῦσι Ἑλλήνων πρῶτον μὲν ὁ 219

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μάντις Μεγιστίης ἐσιδὼν ἐς τὰ ἱρὰ ἔφρασε τὸν μέλλοντα ἔσεσθαι ἅμα ἠοῖ σφι θάνατον. Ἐπὶ δὲ καὶ αὐτόμολοι ἦσαν οἱ ἐξαγγείλαντες τῶν Περσέων τὴν περίοδον. Οὗτοι μὲν ἔτι νυκτὸς ἐσήμηναν, τρίτοι δὲ οἱ ἡμεροσκόποι καταδραμόντες ἀπὸ τῶν ἄκρων ἤδη διαφαινούσης ἡμέρης. Ἐνθαῦτα ἐβουλεύοντο οἱ Ἕλληνες, καί σφεων ἐσχίζοντο αἱ γνῶμαι· οἱ μὲν γὰρ οὐκ ἔων τὴν τάξιν ἐκλιπεῖν, οἱ δὲ ἀντέτεινον. Μετὰ δὲ τοῦτο διακριθέντες οἱ μὲν ἀπαλλάσσοντο καὶ διασκεδασθέντες κατὰ πόλις ἕκαστοι ἐτράποντο, οἱ δὲ αὐτῶν ἅμα Λεωνίδῃ μένειν αὐτοῦ παρεσκευάδατο.

220 Λέγεται δὲ καί, ὡς αὐτός σφεας ἀπέπεμψε Λεωνίδης, μὴ ἀπόλωνται, κηδόμενος· αὐτῷ δὲ καὶ Σπαρτιητέων τοῖσι παρεοῦσι οὐκ ἔχειν εὐπρεπέως ἐκλιπεῖν τὴν τάξιν, ἐς τὴν ἦλθον φυλάξοντες ἀρχήν. Ταύτῃ καὶ μᾶλλον τῇ γνώμῃ πλεῖστός εἰμι, Λεωνίδην, ἐπείτε αἴσθετο τοὺς συμμάχους ἐόντας ἀπροθύμους καὶ οὐκ ἐθέλοντας συνδιακινδυνεύειν, κελεῦσαί σφεας ἀπαλλάσσεσθαι, αὐτῷ δὲ ἀπιέναι οὐ καλῶς ἔχειν. Μένοντι δὲ αὐτοῦ κλέος μέγα ἐλείπετο, καὶ ἡ Σπάρτης εὐδαιμονίη οὐκ ἐξηλείφετο. Ἐκέχρηστο γὰρ ὑπὸ τῆς Πυθίης τοῖσι Σπαρτιήτῃσι χρεωμένοισι περὶ τοῦ πολέμου τούτου αὐτίκα κατ' ἀρχὰς ἐγειρομένου, ἢ Λακεδαίμονα ἀνάστατον γενέσθαι ὑπὸ τῶν βαρβάρων ἢ τὸν βασιλέα σφέων ἀπολέσθαι. Ταῦτά τε δὴ ἐπιλεγόμενον Λεωνίδην καὶ βουλόμενον κλέος καταθέσθαι μούνων Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμμάχους δοκέω μᾶλλον ἢ γνώμῃ διενειχθέντας οὕτω ἀκόσμως οἴχεσθαι τοὺς οἰχομένους.

221 Μαρτύριον δέ μοι καὶ τόδε οὐκ ἐλάχιστον τούτου πέρι γέγονε, ὅτι καὶ τὸν μάντιν, ὃς εἵπετο τῇ στρατιῇ ταύτῃ, Μεγιστίην τὸν Ἀκαρνῆνα, λεγόμενον εἶναι τὰ ἀνέκαθεν ἀπὸ Μελάμποδος, τοῦτον τὸν εἴπαντα ἐκ τῶν ἱρῶν τὰ μέλλοντά σφι ἐκβαίνειν, φανερός ἐστι Λεωνίδης ἀποπέμπων, ἵνα μὴ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

συναπόληταί σφι. Ὁ δὲ ἀποπεμπόμενος αὐτὸς μὲν οὐκ ἀπέλιπε, τὸν δὲ παῖδα συστρατευόμενον, ἐόντα οἳ μουνογενέα, ἀπέπεμψε.

Οἱ μέν νυν σύμμαχοι ἀποπεμπόμενοι οἴχοντό τε ἀπιόντες 222
καὶ ἐπείθοντο Λεωνίδῃ, Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι. Τούτων δὲ Θηβαῖοι μὲν ἀέκοντες ἔμενον καὶ οὐ βουλόμενοι ( κατεῖχε γάρ σφεας Λεωνίδης ἐν ὁμήρων λόγῳ ποιεύμενος ), Θεσπιέες δὲ ἑκόντες μάλιστα, οἳ οὐκ ἔφασαν ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετ' αὐτοῦ ἀπαλλάξεσθαι, ἀλλὰ καταμείναντες συναπέθανον. Ἐστρατήγεε δὲ αὐτῶν Δημόφιλος Διαδρόμεω.

**ε') Ὁ ὕστατος ἀγών. Τιμητικὰ ἐπιγράμματα εἰς τοὺς πεσόντας. (Κεφ. 223-228)**

Ξέρξης δέ, ἐπεὶ ἡλίου ἀνατείλαντος σπονδὰς ἐποιή- 223
σατο, ἐπισχὼν χρόνον ἐς ἀγορῆς κου μάλιστα πληθώρην πρόσοδον ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω οὕτω· ἀπὸ γὰρ τοῦ οὔρεος ἡ κατάβασις συντομωτέρη τέ ἐστι καὶ βραχύτερος ὁ χῶρος πολλόν, ἤπερ ἡ περίοδός τε καὶ ἀνάβασις. Οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξην προσήισαν, καὶ οἱ ἀμφὶ Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι, ἤδη πολλῷ μᾶλλον ἢ κατ' ἀρχὰς ἐπεξήισαν ἐς τὸ εὐρύτερον τοῦ αὐχένος. Τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος φυλάσσοντες ἀνὰ τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς τὰ στεινόπορα ἐμάχοντο. Τότε δὲ συμμίσγοντες ἔξω τῶν στεινῶν ἔπιπτον πλήθεϊ πολλοὶ τῶν βαρβάρων· ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας ἐρράπιζον πάντα ἄνδρα, αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. Πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτῶν ἐς τὴν θάλασσαν καὶ διεφθείροντο, πολλῷ δ' ἔτι πλεῦνες κατεπατέοντο ζωοὶ ὑπ' ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου. Λακεδαιμόνιοι δὲ ἅτε ἐπιστάμενοι τὸν μέλλοντά σφισι ἔσεσθαι θάνατον ἐκ τῶν πε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ριιόντων τὸ οὖρος, ἀπεδείκνυντο, ῥώμης ὅσον εἶχον μέγιστον, ἐς τοὺς βαρβάρους παραχρεώμενοί τε καὶ ἀτέοντες. Δούρατα μέν νυν τοῖσι πλέοσι αὐτῶν τηνικαῦτα ἤδη ἐτύγχανε κατεηγότα, οἱ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς Πέρσας.

224 Καὶ Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει ἀνὴρ γενόμενος ἄριστος, καὶ ἕτεροι μετ' αὐτοῦ οὐνομαστοὶ Σπαρτιητέων, τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην τὰ οὐνόματα, ἐπυθόμην δὲ καὶ ἁπάντων τῶν τριηκοσίων. Καὶ δὴ καὶ Περσέων πίπτουσι ἐνθαῦτα ἄλλοι τε πολλοὶ καὶ οὐνομαστοί, ἐν δὲ δὴ καὶ Δαρείου δύο παῖδες, Ἀβροκόμης τε καὶ Ὑπεράνθης.

225 Ξέρξεώ τε δὴ δύο ἀδελφεοὶ ἐνθαῦτα πίπτουσι μαχόμενοι καὶ ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω Περσέων τε καὶ Λακεδαιμονίων ὠθισμὸς ἐγίνετο πολλός, ἐς ὃ τοῦτόν τε ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν καὶ ἐτρέψαντο τοὺς ἐναντίους τετράκις. Τοῦτο δὲ συνεστήκεε, μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο. Ὡς δὲ τούτους ἥκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ νεῖκος· ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ ἀνεχώρεον ὀπίσω, καὶ παραμειψάμενοι τὸ τεῖχος ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἁλέες οἱ ἄλλοι πλὴν Θηβαίων. Ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐσόδῳ, ὅπου νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ. Ἐν τούτῳ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι, τοῖσι αὐτῶν ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι κατέχωσαν οἱ βάρβαροι βάλλοντες, οἱ μὲν ἐξ ἐναντίης ἐπισπόμενοι καὶ τὸ ἔρυμα τοῦ τείχεος συγχώσαντες, οἱ δὲ περιελθόντες πάντοθεν περισταδόν.

226 Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων, ὅμως λέγεται ἄριστος ἀνὴρ γενέσθαι Σπαρτιήτης Διηνέκης· τὸν τόδε φασὶ εἶπαι τὸ ἔπος, πρὶν ἢ συμμεῖξαί σφεας τοῖσι Μήδοισι, πυθόμενον πρός τευ τῶν Τρηχινίων, ὡς, ἐπεὰν οἱ βάρβαροι ἀπιέωσι τὰ τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν ὀϊστῶν ἀποκρύπτουσι· τοσοῦτο πλῆθος αὐτῶν εἶναι· τὸν δέ, οὐκ ἐκπλαγέντα τούτοισι, εἶπαι, ἐν ἀλογίῃ ποιεύμενον τὸ Μήδων πλῆθος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος ἀγγέλλοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον ὑπὸ σκιῇ ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη καὶ οὐκ ἐν ἡλίῳ. Ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέκεα τὸν Λακεδαιμόνιον λιπέσθαι μνημόσυνα. Μετὰ δὲ τοῦτον ἀριστεῦσαι 227
λέγονται Λακεδαιμόνιοι δύο ἀδελφεοί, Ἀλφεός τε καὶ Μάρων, Ὀρσιφάντου παῖδες. Θεσπιέων δὲ εὐδοκίμεε μάλιστα, τῷ οὔνομα ἦν Διθύραμβος Ἁρματίδεω.

Θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ, τῇ περ ἔπεσον, καὶ τοῖσι 228
πρότερον τελευτήσασι, ἢ τοὺς ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἴχεσθαι, ἐπιγέγραπται γράμματα λέγοντα τάδε·

*Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο*
*ἐκ Πελοποννάσου χιλιάδες τέτορες.*

Ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται, τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ·

*Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε*
*κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.*

Λακεδαιμονίοισι μὲν δὴ τοῦτο, τῷ δὲ μάντι τόδε·

*Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι*
*Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,*
*μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδὼς*
*οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.*

Ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτύονές εἰσί σφεας οἱ ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ

## ΟΥΡΑΝΙΑ

*[Μετὰ τὴν μάχην τῶν Θερμοπυλῶν ὁ πεζὸς στρατὸς τῶν Περσῶν ἐκχυθεὶς εἰς τὴν στερεὰν Ἑλλάδα ἐρημώνει τὴν Φωκίδα, καίει τὰς Θεσπιὰς καὶ Πλαταιὰς καὶ προχωρεῖ εἰς τὴν Ἀττικήν.]*

### 1. Κατάπλους τοῦ ἑλληνικοῦ στόλου εἰς τὴν Σαλαμῖνα.— Ἐκκένωσις τῶν Ἀθηνῶν.

### (Κεφ. 40 - 42)

40 Ὁ δὲ Ἑλλήνων ναυτικὸς στρατὸς ἀπὸ τοῦ Ἀρτεμισίου Ἀθηναίων δεηθέντων ἐς Σαλαμῖνα κατίσχει τὰς νέας. Τῶνδε δὲ εἵνεκεν προσεδεήθησαν αὐτῶν σχεῖν πρὸς Σαλαμῖνα Ἀθηναῖοι, ἵνα αὐτοὶ παῖδάς τε καὶ γυναῖκας ὑπεξαγάγωνται ἐκ τῆς Ἀττικῆς, πρὸς δὲ καὶ βουλεύσωνται, τὸ ποιητέον αὐτοῖσι ἔσται. Ἐπὶ γὰρ τοῖσι κατήκουσι πρήγμασι βουλὴν ἔμελλον ποιήσεσθαι ὡς ἐψευσμένοι γνώμης. Δοκέοντες γὰρ εὑρήσειν Πελοποννησίους πανδημεὶ ἐν τῇ Βοιωτίῃ ὑποκατημένους τὸν βάρβαρον, τῶν μὲν εὗρον οὐδὲν ἐόν, οἱ δὲ ἐπυνθάνοντο τὸν Ἰσθμὸν αὐτοὺς τειχέοντας, τὴν Πελοπόννησον περὶ πλείστου τε ποιευμένους περιεῖναι καὶ ταύτην ἔχοντας ἐν φυλακῇ, τὰ ἄλλα δὲ ἀπιέναι. Ταῦτα πυνθανόμενοι οὕτω δὴ προσεδεήθησάν σφεων σχεῖν πρὸς τὴν Σαλαμῖνα.

41 Οἱ μὲν δὴ ἄλλοι κατέσχον ἐς τὴν Σαλαμῖνα, Ἀθηναῖοι δὲ ἐς τὴν ἑωυτῶν. Μετὰ δὲ τὴν ἄπιξιν κήρυγμα ἐποιήσαντο, Ἀθηναίων τῇ τις δύναται σώζειν τέκνα τε καὶ τοὺς οἰκέτας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐνθαῦτα οἱ μὲν πλεῖστοι ἐς Τροιζῆνα ἀπέστειλαν, οἱ δὲ ἐς Αἴγιναν, οἱ δὲ ἐς Σαλαμῖνα. Ἔσπευσαν δὲ ταῦτα ὑπεκθέσθαι, τῷ χρηστηρίῳ τε βουλόμενοι ὑπηρετέειν καὶ δὴ καὶ τοῦδε εἵνεκεν οὐκ ἥκιστα· λέγουσι Ἀθηναῖοι ὄφιν μέγαν φύλακα τῆς ἀκροπόλιος ἐνδιαιτᾶσθαι ἐν τῷ ἱρῷ. Λέγουσί τε ταῦτα καὶ δὴ καὶ ὡς ἐόντι ἐπιμήνια ἐπιτελέουσι προτιθέντες· τὰ δ' ἐπιμήνια μελιτόεσσά ἐστι. Αὕτη δ' ἡ μελιτόεσσα ἐν τῷ πρόσθε αἰεὶ χρόνῳ ἀναισιμουμένη τότε ἦν ἄψαυστος. Σημηνάσης δὲ ταῦτα τῆς ἱρείης μᾶλλόν τι οἱ Ἀθηναῖοι καὶ προθυμότερον ἐξέλιπον τὴν πόλιν ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίης τὴν ἀκρόπολιν. Ὡς δέ σφι πάντα ὑπεξεκέετο, ἔπλεον ἐς τὸ στρατόπεδον.

Ἐπεὶ δὲ οἱ ἀπ' Ἀρτεμισίου ἐς Σαλαμῖνα κατέσχον τὰς 42
νέας, συνέρρεε καὶ ὁ λοιπὸς πυνθανόμενος ὁ τῶν Ἑλλήνων ναυτικὸς στρατὸς ἐκ Τροιζῆνος· ἐς γὰρ Πώγωνα, τὸν Τροιζηνίων λιμένα, προείρητο συλλέγεσθαι. Ναύαρχος μέν νυν ἐπῆν ωὑτός, ὅσπερ ἐπ' Ἀρτεμισίῳ, Εὐρυβιάδης Εὐρυκλείδεω, ἀνὴρ Σπαρτιήτης, οὐ μέντοι γένεός γε τοῦ βασιληίου ἐών. Νέας δὲ πολλῷ πλείστας τε καὶ ἄριστα πλεούσας παρείχοντο Ἀθηναῖοι ὀγδώκοντα καὶ ἑκατόν. Ἀριθμὸς δὲ ἐγένετο ὁ πᾶς τῶν νεῶν, πάρεξ τῶν πεντηκοντέρων, τριηκόσιαι καὶ ἑβδομήκοντα καὶ ὀκτώ.

### 2. Πολεμικὸν Συμβούλιον τῶν Ἑλλήνων.— Οἱ Πέρσαι εἰς τὴν Ἀττικήν.— Ἅλωσις τῶν Ἀθηνῶν καὶ πυρπόλησις τῆς Ἀκροπόλεως αὐτῶν.

**(Κεφ. 49 - 55)**

Ὡς δὲ ἐς τὴν Σαλαμῖνα συνῆλθον οἱ στρατηγοὶ ἀπὸ τῶν 49
πολίων, ἐβουλεύοντο προθέντος Εὐρυβιάδεω γνώμην ἀποφαίνεσθαι τὸν βουλόμενον, ὅκου δοκέοι ἐπιτηδεότατον εἶναι ναυ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μαχίην ποιέεσθαι, τῶν αὐτοὶ χωρέων ἐγκρατέες εἰσί· ἡ γὰρ Ἀττικὴ ἀπεῖτο ἤδη, τῶν δὲ λοιπέων πέρι προετίθεε. Αἱ γνῶμαι δὲ τῶν λεγόντων αἱ πλεῖσται συνεξέπιπτον πρὸς τὸν Ἰσθμὸν πλώσαντας ναυμαχέειν πρὸ τῆς Πελοποννήσου, ἐπιλέγοντες τὸν λόγον τόνδε, ὡς, ἢν νικηθέωσι τῇ ναυμαχίῃ, ἐν Σαλαμῖνι μὲν ἐόντες πολιορκήσονται ἐν νήσῳ, ἵνα σφι τιμωρίη οὐδεμία ἐπιφανήσεται, πρὸς δὲ τῷ Ἰσθμῷ ἐς τοὺς ἑωυτῶν ἐξοίσονται.

50 Ταῦτα τῶν ἀπὸ Πελοποννήσου στρατηγῶν ἐπιλεγομένων ἐληλύθεε ἀνὴρ Ἀθηναῖος ἀγγέλλων ἥκειν τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν καὶ πᾶσαν αὐτὴν πυρπολέεσθαι. Ὁ γὰρ διὰ Βοιωτῶν τραπόμενος στρατὸς ἅμα Ξέρξῃ, ἐμπρήσας Θεσπιέων τὴν πόλιν, αὐτῶν ἐκλελοιπότων ἐς Πελοπόννησον, καὶ τὴν Πλαταιέων ὡσαύτως, ἧκέ τε ἐς τὴν Ἀττικὴν καὶ πάντα ἐκεῖνα ἐδηίου. Ἐνέπρησε δὲ Θέσπειάν τε καὶ Πλάταιαν πυθόμενος Θηβαίων, ὅτι οὐκ ἐμήδιζον. Ἀπὸ δὲ τῆς διαβάσιος τοῦ Ἑλλησπόντου, ἔνθεν πορεύεσθαι ἤρξαντο οἱ βάρβαροι, ἕνα αὐτοῦ διατρίψαντες μῆνα, ἐν τῷ διέβαινον ἐς τὴν Εὐρώπην, ἐν τρισὶ ἑτέροισι μησὶ ἐγένοντο ἐν τῇ Ἀττικῇ, Καλλιάδεω ἄρχοντος Ἀθηναίοισι.

51 Καὶ αἱρέουσι ἔρημον τὸ ἄστυ, καί τινας ὀλίγους εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ ἐόντας, ταμίας τε τοῦ ἱροῦ καὶ πένητας ἀνθρώπους, οἳ φραξάμενοι τὴν ἀκρόπολιν θύρῃσί τε καὶ ξύλοισι ἠμύνοντο τοὺς ἐπιόντας, ἅμα μὲν ὑπ' ἀσθενείης βίου οὐκ ἐκχωρήσαντες ἐς Σαλαμῖνα, πρὸς δὲ αὐτοὶ δοκέοντες ἐξευρηκέναι τὸ μαντήιον, τὸ ἡ Πυθίη σφι ἔχρησε, τὸ ξύλινον τεῖχος ἀνάλωτον ἔσεσθαι· αὐτὸ δὴ τοῦτο εἶναι τὸ κρησφύγετον κατὰ τὸ μηντήιον καὶ οὐ τὰς νέας.

52 Οἱ δὲ Πέρσαι ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν Ἀθηναῖοι καλέουσι Ἀρήιον πάγον, ἐπο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λιόρκεον τρόπον τοιόνδε· ὅκως στυππεῖον περὶ τοὺς ὀϊστοὺς περιθέντες ἅψειαν, ἐτόξευον ἐς τὸ φράγμα. Ἐνθαῦτα Ἀθηναίων οἱ πολιορκεόμενοι ὅμως ἠμύνοντο, καίπερ ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι καὶ τοῦ φράγματος προδεδωκότος. Οὐδὲ λόγους τῶν Πεισιστρατιδέων προσφερόντων περὶ ὁμολογίης ἐνεδέκοντο, ἀμυνόμενοι δὲ ἄλλα τε ἀντεμηχανῶντο καὶ δὴ καὶ προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας ὀλοιτρόχους ἀπίεσαν, ὥστε Ξέρξην ἐπὶ χρόνον συχνὸν ἀπορίῃσι ἐνέχεσθαι οὐ δυναμένόν σφεας ἑλεῖν.

Χρόνῳ δ' ἐκ τῶν ἀπόρων ἐφάνη δή τις ἔξοδος τοῖσι βαρ- 53
βάροισι· ἔδεε γὰρ κατὰ τὸ θεοπρόπιον πᾶσαν τὴν Ἀττικὴν τὴν ἐν τῇ ἠπείρῳ γενέσθαι ὑπὸ Πέρσῃσι. Ἔμπροσθε ὦν πρὸ τῆς ἀκροπόλιος, ὄπισθε δὲ τῶν πυλέων καὶ τῆς ἀνόδου, τῇ δὴ οὔτε τις ἐφύλασσε οὔτ' ἂν ἤλπισε, μή κοτέ τις κατὰ ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου, καίπερ ἀποκρήμνου ἐόντος τοῦ χώρου. Ὡς δὲ εἶδον αὐτοὺς ἀναβεβηκότας οἱ Ἀθηναῖοι ἐπὶ τὴν ἀκρόπολιν, οἱ μὲν ἔρριπτον ἑωυτοὺς κατὰ τοῦ τείχεος κάτω καὶ διεφθείροντο, οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον. Τῶν δὲ Περσέων οἱ ἀναβεβηκότες πρῶτον μὲν ἐτράποντο πρὸς τὰς πύλας, ταύτας δὲ ἀνοίξαντες τοὺς ἱκέτας ἐφόνευον· ἐπεὶ δέ σφι πάντες κατέστρωντο, τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν πᾶσαν τὴν ἀκρόπολιν.

Σχὼν δὲ παντελέως τὰς Ἀθήνας Ξέρξης ἀπέπεμψε ἐς 54
Σοῦσα ἄγγελον ἱππέα Ἀρταβάνῳ ἀγγελέοντα τὴν παρεοῦσάν σφι εὐπρηξίην. Ἀπὸ δὲ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἑωυτοῦ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ ἀναβάντας ἐς τὴν ἀκρόπολιν, εἴτε δὴ ὦν ὄψιν τινὰ ἰδὼν ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱρόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ δὲ φυγάδες τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα.

55 Τοῦ δὲ εἵνεκεν τούτων ἐπεμνήσθην, φράσω. Ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ἐρεχθέος τοῦ γηγενέος λεγομένου εἶναι νηός, ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι, τὰ λόγος παρ' Ἀθηναίων Ποσειδέωνά τε καὶ Ἀθηναίην ἐρίσαντας περὶ τῆς χώρης μαρτύρια θέσθαι. Ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος Ἀθηναίων οἱ θύειν ὑπὸ βασιλέος κελευόμενοι ὡς ἀνέβησαν ἐς τὸ ἱρόν, ὥρων βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. Οὗτοι μέν νυν ταῦτα ἔφρασαν.

### 3. Νέον πολεμικὸν συμβούλιον τῶν Ἑλλήνων.

### (Κεφ. 56 - 64)

56 Οἱ δὲ ἐν Σαλαμῖνι Ἕλληνες, ὥς σφι ἐξηγγέλθη, ὡς ἔσχε τὰ περὶ τὴν Ἀθηναίων ἀκρόπολιν, ἐς τοσοῦτον θόρυβον ἀπίκοντο, ὥστε ἔνιοι τῶν στρατηγῶν οὐδὲ κυρωθῆναι ἔμενον τὸ προκείμενον πρῆγμα, ἀλλ' ἔς τε τὰς νέας ἐσέπιπτον καὶ ἱστία ἀείροντο ὡς ἀποθευσόμενοι· τοῖσί τε ὑπολειπομένοισι αὐτῶν ἐκυρώθη πρὸ τοῦ Ἰσθμοῦ ναυμαχέειν. Νύξ τε ἐγίνετο, καὶ οἳ διαλυθέντες ἐκ τοῦ συνεδρίου ἐσέβαινον ἐς τὰς νέας.

57 Ἐνθαῦτα δὴ Θεμιστοκλέα ἀπικόμενον ἐπὶ τὴν νέα εἴρετο Μνησίφιλος, ἀνὴρ Ἀθηναῖος, ὅ τι σφι εἴη βεβουλευμένον. Πυθόμενος δὲ πρὸς αὐτοῦ, ὡς εἴη δεδογμένον ἀνάγειν τὰς νέας πρὸς τὸν Ἰσθμὸν καὶ πρὸ τῆς Πελοποννήσου ναυμαχέειν, εἶπε· « Οὔ τοι ἄρα, ἢν ἀπαείρωσι τὰς νέας ἀπὸ Σαλαμῖνος, περὶ οὐδεμιῆς ἔτι πατρίδος ναυμαχήσεις· κατὰ γὰρ πόλις ἕκαστοι τρέψονται, καὶ οὔτε σφέας Εὐρυβιάδης κατέχειν δυνήσεται οὔτε τις ἀνθρώπων ἄλλος, ὥστε μὴ οὐ διασκεδασθῆναι τὴν στρατιήν· ἀπολέεταί τε ἡ Ἑλλὰς ἀβουλίῃσι. Ἀλλ' εἴ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τις ἔστι μηχανή, ἴθι καὶ πειρῶ διαχέαι τὰ βεβουλευμένα, ἤν κως δύνῃ ἀναγνῶσαι Εὐρυβιάδην μεταβουλεύσασθαι, ὥστε αὐτοῦ μένειν ».

Κάρτα τε τῷ Θεμιστοκλέϊ ἤρεσε ἡ ὑποθήκη, καὶ οὐδὲν 58 πρὸς ταῦτα ἀμειψάμενος ἤιε ἐπὶ τὴν νέα τὴν Εὐρυβιάδεω. Ἀπικόμενος δὲ ἔφη ἐθέλειν οἱ κοινόν τι πρῆγμα συμμεῖξαι. Ὁ δ' αὐτὸν ἐς τὴν νέα ἐκέλευε ἐσβάντα λέγειν, εἴ τι θέλει. Ἐνθαῦτα ὁ Θεμιστοκλέης παριζόμενός οἱ καταλέγει ἐκεῖνά τε πάντα, τὰ ἤκουσε Μνησιφίλου, ἑωυτοῦ ποιεύμενος, καὶ ἄλλα πολλὰ προστιθείς, ἐς ὃ ἀνέγνωσε χρηίζων ἔκ τε τῆς νεὸς ἐκβῆναι συλλέξαι τε τοὺς στρατηγοὺς ἐς τὸ συνέδριον.

Ὡς δὲ ἄρα συνελέχθησαν, πρὶν ἢ τὸν Εὐρυβιάδην προθεῖ- 59 ναι τὸν λόγον, τῶν εἵνεκεν συνήγαγε τοὺς στρατηγούς, πολλὸς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι οἷα κάρτα δεόμενος. Λέγοντος δὲ αὐτοῦ ὁ Κορίνθιος στρατηγὸς Ἀδείμαντος ὁ Ὠκύτου εἶπε· « Ὦ Θεμιστόκλεες, ἐν τοῖσι ἀγῶσι οἱ προεξανιστάμενοι ῥαπίζονται ». Ὁ δὲ ἀπολυόμενος ἔφη· « Οἱ δέ γε ἐγκαταλειπόμενοι οὐ στεφανοῦνται ».

Τότε μὲν ἠπίως πρὸς τὸν Κορίνθιον ἀμείψατο, πρὸς δὲ 60 τὸν Εὐρυβιάδην ἔλεγε ἐκείνων μὲν οὐκέτι οὐδὲν τῶν πρότερον λεχθέντων, ὡς, ἐπεὰν ἀπαείρωσι ἀπὸ Σαλαμῖνος, διαδρήσονται· παρεόντων γὰρ τῶν συμμάχων οὐκ ἔφερέ οἱ κόσμον οὐδένα κατηγορέειν· ὁ δὲ ἄλλου λόγου εἴχετο, λέγων τάδε·

α ) « Ἐν σοὶ νῦν ἐστὶ σῶσαι τὴν Ἑλλάδα, ἢν ἐμοὶ πείθῃ ναυμαχίην αὐτοῦ μένων ποιέεσθαι, μηδὲ πειθόμενος τούτων τοῖσι λόγοισι ἀναζεύξῃς πρὸς τὸν Ἰσθμὸν τὰς νέας. Ἀντίθες γὰρ ἑκάτερον ἀκούσας. Πρὸς μὲν τῷ Ἰσθμῷ συμβάλλων ἐν πελάγεϊ ἀναπεπταμένῳ ναυμαχήσεις, τὸ ἥκιστα ἡμῖν σύμφορόν ἐστι νέας ἔχουσι βαρυτέρας καὶ ἀριθμὸν ἐλάσσονας· τοῦτο δὲ ἀπολέεις Σαλαμῖνά τε καὶ Μέγαρα καὶ Αἴγιναν, ἤνπερ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ τὰ ἄλλα εὐτυχήσωμεν. Ἅμα γὰρ τῷ ναυτικῷ αὐτῶν ἕψεται καὶ ὁ πεζὸς στρατός, καὶ οὕτω σφέας αὐτὸς ἄξεις ἐπὶ τὴν Πελοπόννησον, κινδυνεύσεις τε ἁπάσῃ τῇ Ἑλλάδι.

β ) « Ἢν δέ, τὰ ἐγὼ λέγω, ποιήσῃς, τοσάδε ἐν αὐτοῖσι χρηστὰ εὑρήσεις· πρῶτα μὲν ἐν στεινῷ συμβάλλοντες νηυσὶ ὀλίγῃσι πρὸς πολλάς, ἢν τὰ οἰκότα ἐκ τοῦ πολέμου ἐκβαίνῃ, πολλὸν κρατήσομεν· τὸ γὰρ ἐν στεινῷ ναυμαχέειν πρὸς ἡμέων ἐστί, ἐν εὐρυχωρίῃ δὲ πρὸς ἐκείνων. Αὖτις δὲ Σαλαμὶς περιγίνεται, ἐς τὴν ἡμῖν ὑπεκκέεται τέκνα τε καὶ γυναῖκες. Καὶ μὲν καὶ τόδε ἐν αὐτοῖσι ἔνεστι, τοῦ καὶ περιέχεσθε μάλιστα· ὁμοίως αὐτοῦ τε μένων προναυμαχήσεις Πελοποννήσου καὶ πρὸς τῷ Ἰσθμῷ, οὐδέ σφεας, εἴπερ εὖ φρονέεις, ἄξεις ἐπὶ τὴν Πελοπόννησον.

γ ) « Ἢν δέ γε καί, τὰ ἐγὼ ἐλπίζω, γένηται καὶ νικήσωμεν τῇσι νηυσί, οὔτε ὑμῖν ἐς τὸν Ἰσθμὸν παρέσονται οἱ βάρβαροι οὔτε προβήσονται ἑκαστέρω τῆς Ἀττικῆς, ἀπίασί τε οὐδενὶ κόσμῳ, Μεγάροισί τε κερδανέομεν περιεοῦσι καὶ Αἰγίνῃ καὶ Σαλαμῖνι, ἐν τῇ ἡμῖν καὶ λόγιόν ἐστι τῶν ἐχθρῶν κατύπερθε γενέσθαι. Οἰκότα μέν νυν βουλευομένοισι ἀνθρώποισι ὡς τὸ ἐπίπαν ἐθέλει εὖ γίνεσθαι· μὴ δὲ οἰκότα βουλευομένοισι οὐκ ἐθέλει οὐδὲ ὁ θεὸς προσχωρέειν πρὸς τὰς ἀνθρωπηίας γνώμας ».

61 Ταῦτα λέγοντος Θεμιστοκλέος αὖτις ὁ Κορίνθιος Ἀδείμαντος ἐπεφέρετο, σιγᾶν τε κελεύων, τῷ μὴ ἔστι πατρίς, καὶ Εὐρυβιάδην οὐκ ἐῶν ἐπιψηφίζειν ἀπόλι ἀνδρί· πόλιν γὰρ τὸν Θεμιστοκλέα παρεχόμενον οὕτω ἐκέλευε γνώμας συμβάλλεσθαι. Ταῦτα δέ οἱ προέφερε, ὅτι ἡλώκεσάν τε καὶ κατείχοντο Ἀθῆναι. Τότε δὴ ὁ Θεμιστοκλέης κεῖνόν τε καὶ τοὺς Κορινθίους πολλά τε καὶ κακὰ ἔλεγε, ἑωυτοῖσί τε ἐδήλου λόγῳ, ὡς εἴη καὶ πόλις καὶ γῆ μέζων ἤπερ ἐκείνοισι, ἔστ' ἂν διηκό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιαι νέες σφι ἔωσι πεπληρωμέναι· οὐδαμούς γὰρ Ἑλλήνων αὐτούς ἐπιόντας ἀποκρούσεσθαι.

Σημαίνων δὲ ταῦτα τῷ λόγῳ διέβαινε ἐς Εὐρυβιάδην, λέ- 62
γων μᾶλλον ἐπεστραμμένα· « Σὺ εἰ μενέεις αὐτοῦ καὶ μένων ἔσεαι ἀνὴρ ἀγαθός, καλῶς ἔχει· εἰ δὲ μή, ἀνατρέψεις τὴν Ἑλλάδα· τὸ πᾶν γὰρ ἡμῖν τοῦ πολέμου φέρουσι αἱ νέες. Ἀλλ' ἐμοὶ πείθεο. Εἰ δὲ ταῦτα μὴ ποιήσεις, ἡμεῖς μέν, ὡς ἔχομεν, ἀναλαβόντες τοὺς οἰκέτας κομιεύμεθα ἐς Σῖριν τὴν ἐν Ἰταλίῃ, ἥπερ ἡμετέρη τέ ἐστι ἐκ τοῦ παλαιοῦ ἔτι, καὶ τὰ λόγια λέγει ὑπ' ἡμέων αὐτὴν δεῖν κτισθῆναι· ὑμεῖς δὲ συμμάχων τοιῶνδε μουνωθέντες μεμνήσεσθε τῶν ἐμῶν λόγων ».

Ταῦτα δὲ Θεμιστοκλέος λέγοντος ἀνεδιδάσκετο Εὐρυ- 63
βιάδης· δοκέειν δέ μοι, ἀρρωδήσας μάλιστα τοὺς Ἀθηναίους ἀνεδιδάσκετο, μή σφεας ἀπολίπωσι, ἢν πρὸς τὸν Ἰσθμὸν ἀνάγῃ τὰς νέας· ἀπολιπόντων γὰρ Ἀθηναίων οὐκέτι ἐγίνοντο ἀξιόμαχοι οἱ λοιποί. Ταύτην δὴ αἱρέεται τὴν γνώμην, αὐτοῦ
μένοντας διαναυμαχέειν. Οὕτω μὲν οἱ περὶ Σαλαμῖνα ἔπεσι 64
ἀκροβολισάμενοι, ἐπείτε Εὐρυβιάδῃ ἔδοξε, αὐτοῦ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. Ἡμέρη τε ἐγίνετο καὶ ἅμα τῷ ἡλίῳ ἀνιόντι σεισμὸς ἐγένετο ἔν τε τῇ γῇ καὶ τῇ θαλάσσῃ. Ἔδοξε δέ σφι εὔξασθαι τοῖσι θεοῖσι καὶ ἐπικαλέσασθαι τοὺς Αἰακίδας συμμάχους. Ὡς δέ σφι ἔδοξε, καὶ ἐποίευν ταῦτα· εὐξάμενοι γὰρ πᾶσι τοῖσι θεοῖσι αὐτόθεν μὲν ἐκ Σαλαμῖνος Αἴαντά τε καὶ Τελαμῶνα ἐπεκαλέοντο, ἐπὶ δὲ Αἰακὸν καὶ τοὺς ἄλλους Αἰακίδας νέα ἀπέστελλον ἐς Αἴγιναν.

*[Ὁ περσικὸς στόλος ἀκολουθῶν τὰ ἴχνη τοῦ ἑλληνικοῦ φθάνει εἰς τὴν παραλίαν τῆς Ἀττικῆς καὶ ἀγκυροβολεῖ εἰς Φάληρον· ἐκεῖ καταβαίνει ὁ Ξέρξης καὶ συγκαλέσας εἰς συνέδριον τοὺς ἀρχηγοὺς τοῦ στόλου ἐρωτᾷ αὐτοὺς διὰ τοῦ Μαρδονίου, ἂν ἐγκρίνουν τὴν συγκρότησιν ναυμαχίας. Ὁ Ξέρξης ἀκολουθῶν τὴν γνώμην τῶν περισσοτέρων ἀποφασίζει νὰ ναυμαχήσῃ.]*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### 4. Ὁ περσικὸς στόλος πλέει εἰς τὴν Σαλαμῖνα, ὁ δὲ πεζὸς στρατὸς πορεύεται κατὰ τῆς Πελοποννήσου.— Ὀχύρωσις τοῦ Ἰσθμοῦ.

### (Κεφ. 70-72)

70 Ἐπειδὴ δὲ παρήγγελλε ἀναπλέειν, ἀνῆγον τὰς νέας ἐπὶ τὴν Σαλαμῖνα, καὶ παρεκρίθησαν διαταχθέντες κατ' ἡσυχίην. Τότε μέν νυν οὐκ ἐξέχρησέ σφι ἡ ἡμέρη ναυμαχίην ποιήσασθαι (νὺξ γὰρ ἐπεγένετο), οἱ δὲ παρεσκευάζοντο ἐς τὴν ὑστεραίην. Τοὺς δὲ Ἕλληνας εἶχε δέος τε καὶ ἀρρωδίη, οὐκ ἥκιστα δὲ τοὺς ἀπὸ Πελοποννήσου. Ἀρρώδεον δέ, ὅτι αὐτοὶ μὲν ἐν Σαλαμῖνι κατήμενοι ὑπὲρ γῆς τῆς Ἀθηναίων ναυμαχέειν μέλλοιεν, νικηθέντες τε ἐν νήσῳ ἀπολαμφθέντες πολιορκήσονται, ἀπέντες τὴν ἑωυτῶν ἀφύλακτον.

71 Τῶν δὲ βαρβάρων ὁ πεζὸς ὑπὸ τὴν παρεοῦσαν νύκτα ἐπορεύετο ἐπὶ τὴν Πελοπόννησον· καίτοι τὰ δυνατὰ πάντα ἐμεμηχάνητο, ὅκως κατ' ἤπειρον μὴ ἐσβάλοιεν οἱ βάρβαροι. Ὡς γὰρ ἐπύθοντο τάχιστα Πελοποννήσιοι τοὺς ἀμφὶ Λεωνίδην ἐν Θερμοπύλῃσι τετελευτηκέναι, συνδραμόντες ἐκ τῶν πολίων ἐς τὸν Ἰσθμὸν ἵζοντο, καί σφι ἐπῆν στρατηγὸς Κλεόμβροτος ὁ Ἀναξανδρίδεω, Λεωνίδεω δὲ ἀδελφεός. Ἱζόμενοι δὲ ἐν τῷ Ἰσθμῷ καὶ συγχώσαντες τὴν Σκειρωνίδα ὁδόν, μετὰ τοῦτο, ὥς σφι ἔδοξε βουλευομένοισι, οἰκοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος. Ἅτε δὴ ἐουσέων μυριάδων πολλέων καὶ παντὸς ἀνδρὸς ἐργαζομένου ἤνετο τὸ ἔργον· καὶ γὰρ λίθοι καὶ πλίνθοι καὶ ξύλα καὶ φορμοὶ ψάμμου πλήρεες ἐσεφορέοντο, καὶ ἐλίνυον οὐδένα χρόνον οἱ βωθήσαντες ἐργαζόμενοι, οὔτε νυκτὸς οὔτε ἡμέρης.

72 Οἱ δὲ βωθήσαντες ἐς τὸν Ἰσθμὸν πανδημεὶ οἵδε ἦσαν Ἑλλήνων· Λακεδαιμόνιοί τε καὶ Ἀρκάδες πάντες καὶ Ἠλεῖοι καὶ Κορίνθιοι καὶ Σικυώνιοι καὶ Ἐπιδαύριοι καὶ Φλειάσιοι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ Τροιζήνιοι καὶ Ἑρμιόνεες. Οὗτοι μὲν ἦσαν οἱ βωθήσαντες καὶ ὑπεραρρωδέοντες τῇ Ἑλλάδι κινδυνεούσῃ· τοῖσι δὲ ἄλλοισι Πελοποννησίοισι ἔμελε οὐδέν. Ὀλύμπια δὲ καὶ Κάρνεια παροιχώκεε ἤδη.

## 5. Ὁ Θεμιστοκλῆς διὰ τεχνάσματος ἀναγκάζει τοὺς Ἕλληνας νὰ ναυμαχήσουν ἐν Σαλαμῖνι.

### ( Κεφ. 74 - 76, 78 - 82 )

Οἱ μὲν δὴ ἐν τῷ Ἰσθμῷ τοιούτῳ πόνῳ συνέστασαν, ἅτε 74
τὸν περὶ τοῦ παντὸς ἤδη δρόμον θέοντες καὶ τῇσι νηυσὶ οὐκ ἐλπίζοντες ἐλλάμψεσθαι· οἱ δὲ ἐν Σαλαμῖνι ὅμως ταῦτα πυνθανόμενοι ἀρρώδεον, οὐκ οὕτω περὶ σφίσι αὐτοῖσι δειμαίνοντες, ὡς περὶ τῇ Πελοποννήσῳ. Τέως μὲν δὴ αὐτῶν ἀνὴρ ἀνδρὶ παραστὰς σιγῇ λόγον ἐποιέετο, θῶμα ποιεύμενοι τὴν Εὐρυβιάδεω ἀβουλίην· τέλος δὲ ἐξερράγη ἐς τὸ μέσον. Σύλλογός τε δὴ ἐγίνετο, καὶ πολλὰ ἐλέγετο περὶ τῶν αὐτῶν, οἱ μέν, ὡς ἐς τὴν Πελοπόννησον χρεὸν εἴη ἀποπλέειν καὶ περὶ ἐκείνης κινδυνεύειν, μηδὲ πρὸ χώρης δοριαλώτου μένοντας μάχεσθαι, Ἀθηναῖοι δὲ καὶ Αἰγινῆται καὶ Μεγαρέες αὐτοῦ μένοντας ἀμύνεσθαι.

Ἐνθαῦτα Θεμιστοκλέης, ὡς ἑσσοῦτο τῇ γνώμῃ ὑπὸ τῶν 75
Πελοποννησίων, λαθὼν ἐξέρχεται ἐκ τοῦ συνεδρίου, ἐξελθὼν δὲ πέμπει ἐς τὸ στρατόπεδον τὸ Μήδων ἄνδρα πλοίῳ ἐντειλάμενος, τὰ λέγειν χρεόν, τῷ οὔνομα μὲν ἦν Σίκιννος, οἰκέτης δὲ καὶ παιδαγωγὸς ἦν τῶν Θεμιστοκλέος παίδων· τὸν δὴ ὕστερον τούτων τῶν πρηγμάτων Θεμιστοκλέης Θεσπιέα τε ἐποίησε, ὡς ἐπεδέκοντο οἱ Θεσπιέες πολιήτας, καὶ χρήμασι ὄλβιον. Ὃς τότε πλοίῳ ἀπικόμενος ἔλεγε πρὸς τοὺς στρατηγοὺς τῶν βαρβάρων τάδε· « Ἔπεμψέ με στρατηγὸς ὁ Ἀθηναίων λάθρῃ



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν ἄλλων Ἑλλήνων ( τυγχάνει γὰρ φρονέων τὰ βασιλέος καὶ βουλόμενος μᾶλλον τὰ ὑμέτερα κατύπερθε γίνεσθαι ἢ τὰ τῶν Ἑλλήνων πρήγματα ) φράσοντα, ὅτι οἱ Ἕλληνες δρησμὸν βουλεύονται καταρρωδηκότες, καὶ νῦν παρέχει κάλλιστον ὑμέας ἔργον ἁπάντων ἐξεργάσασθαι, ἢν μὴ περιίδητε διαδράντας αὐτούς. Οὔτε γὰρ ἀλλήλοισι ὁμοφρονέουσι οὔτ' ἔτι ἀντιστήσονται ὑμῖν, πρὸς ἑωυτούς τε σφέας ὄψεσθε ναυμαχέοντας τοὺς τὰ ὑμέτερα φρονέοντας καὶ τοὺς μή ». Ὁ μὲν ταῦτά σφι σημήνας ἐμποδὼν ἀπαλλάσσετο.

76 Τοῖσι δὲ ὡς πιστὰ ἐγίνετο τὰ ἀγγελθέντα, τοῦτο μὲν ἐς τὴν νησῖδα τὴν Ψυττάλειαν, μεταξὺ Σαλαμῖνός τε κειμένην καὶ τῆς ἠπείρου, πολλοὺς τῶν Περσέων ἀπεβίβασαν· τοῦτο δέ, ἐπειδὴ ἐγίνοντο μέσαι νύκτες, ἀνῆγον μὲν τὸ ἀπ' ἑσπέρης κέρας κυκλούμενοι πρὸς τὴν Σαλαμῖνα, ἀνῆγον δὲ οἱ ἀμφὶ τὴν Κέον τε καὶ τὴν Κυνόσουραν τεταγμένοι, κατεῖχόν τε μέχρι Μουνιχίης πάντα τὸν πορθμὸν τῇσι νηυσί. Τῶνδε δὲ εἵνεκεν ἀνῆγον τὰς νέας, ἵνα δὴ τοῖσι Ἕλλησι μηδὲ φυγεῖν ἐξῇ, ἀλλ' ἀπολαμφθέντες ἐν τῇ Σαλαμῖνι δοῖεν τίσιν τῶν ἐπ' Ἀρτεμισίῳ ἀγωνισμάτων. Ἐς δὲ τὴν νησῖδα τὴν Ψυττάλειαν καλεομένην ἀπεβίβαζον τῶν Περσέων τῶνδε εἵνεκεν, ὡς, ἐπεὰν γίνηται ναυμαχίη, ἐνθαῦτα μάλιστα ἐξοισομένων τῶν τε ἀνδρῶν καὶ τῶν ναυηγίων ( ἐν γὰρ δὴ πόρῳ τῆς ναυμαχίης τῆς μελλούσης ἔσεσθαι ἐκέετο ἡ νῆσος ), ἵνα τοὺς μὲν περιποιέωσι, τοὺς δὲ διαφθείρωσι. Ἐποίευν δὲ σιγῇ ταῦτα, ὡς μὴ πυνθανοίατο οἱ ἐναντίοι. Οἱ μὲν δὴ ταῦτα τῆς νυκτὸς οὐδὲν ἀποκοιμηθέντες παραρτέοντο.

78 Τῶν δὲ ἐν Σαλαμῖνι στρατηγῶν ἐγίνετο ὠθισμὸς λόγων
πολλός. Ἤδεσαν δὲ οὔκω, ὅτι σφέας περιεκυκλοῦντο τῇσι νηυσὶ
οἱ βάρβαροι, ἀλλ' ὥσπερ τῆς ἡμέρης ὥρων αὐτοὺς τεταγμέ-
79 νους, ἐδόκεον κατὰ χώρην εἶναι. Συνεστηκότων δὲ τῶν στρα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τηγῶν ἐξ Αἰγίνης διέβη Ἀριστείδης ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος μέν, ἐξωστρακισμένος δὲ ὑπὸ τοῦ δήμου, τὸν ἐγὼ νενόμικα, πυνθανόμενος αὐτοῦ τὸν τρόπον, ἄριστον ἄνδρα γενέσθαι ἐν Ἀθήνῃσι καὶ δικαιότατον. Οὗτος ὡνὴρ στὰς ἐπὶ τὸ συνέδριον ἐξεκαλέετο Θεμιστοκλέα, ἐόντα μὲν ἑωυτῷ οὐ φίλον, ἐχθρὸν δὲ τὰ μάλιστα· ὑπὸ δὲ μεγάθεος τῶν παρεόντων κακῶν λήθην ἐκείνων ποιεύμενος ἐξεκαλέετο, θέλων αὐτῷ συμμεῖξαι. Προακηκόεε δέ, ὅτι σπεύδοιεν οἱ ἀπὸ Πελοποννήσου ἀνάγειν τὰς νέας πρὸς τὸν Ἰσθμόν. Ὡς δὲ ἐξῆλθέ οἱ Θεμιστοκλέης, ἔλεγε Ἀριστείδης τάδε· « Ἡμέας στασιάζειν χρεόν ἐστι ἔν τε τῷ ἄλλῳ καιρῷ καὶ δὴ καὶ ἐν τῷδε περὶ τοῦ ὁκότερος ἡμέων πλέω ἀγαθὰ τὴν πατρίδα ἐργάσεται. Λέγω δέ τοι, ὅτι ἴσον ἐστὶ πολλά τε καὶ ὀλίγα λέγειν περὶ ἀποπλόου τοῦ ἐνθεῦτεν Πελοποννησίοισι. Ἐγὼ γὰρ αὐτόπτης τοι λέγω γενόμενος, ὅτι νῦν οὐδ', ἢν θέλωσι, Κορίνθιοί τε καὶ αὐτὸς Εὐρυβιάδης οἷοί τε ἔσονται ἐκπλῶσαι· περιεχόμεθα γὰρ ὑπὸ τῶν πολεμίων κύκλῳ. Ἀλλ' ἐσελθὼν σφι ταῦτα σήμηνον ».

Ὁ δ' ἀμείβετο τοῖσδε· « Κάρτα τε χρηστὰ διακελεύεαι 80
καὶ εὖ ἤγγειλας· τὰ γὰρ ἐγὼ ἐδεόμην γενέσθαι, αὐτὸς αὐτόπτης γενόμενος ἥκεις. Ἴσθι γὰρ ἐξ ἐμέο τὰ ποιεύμενα ὑπὸ Μήδων. Ἔδεε γάρ, ὅτε οὐκ ἑκόντες ἤθελον ἐς μάχην κατίστασθαι οἱ Ἕλληνες, ἀέκοντας παραστήσασθαι. Σὺ δέ, ἐπείπερ ἥκεις χρηστὰ ἀπαγγέλλων, αὐτός σφι ἄγγειλον. Ἢν γὰρ ἐγὼ αὐτὰ λέγω, δόξω πλάσας λέγειν καὶ οὐ πείσω ὡς οὐ ποιεύντων τῶν βαρβάρων ταῦτα. Ἀλλά σφι σήμηνον αὐτὸς παρελθών, ὡς ἔχει. Ἐπεὰν δὲ σημήνῃς, ἢν μὲν πείθωνται, ταῦτα δὴ τὰ κάλλιστα· ἢν δὲ αὐτοῖσι μὴ πιστὰ γένηται, ὅμοιον ἡμῖν ἔσται· οὐ γὰρ ἔτι διαδρήσονται, εἴπερ περιεχόμεθα πανταχόθεν, ὡς σὺ
λέγεις ». Ταῦτα ἔλεγε παρελθὼν ὁ Ἀριστείδης, φάμενος ἐξ 81
Αἰγίνης τε ἥκειν καὶ μόγις ἐκπλῶσαι λαθὼν τοὺς ἐπορμέον-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τας· περιέχεσθαι γὰρ πᾶν τὸ στρατόπεδον τὸ Ἑλληνικὸν ὑπὸ τῶν νεῶν τῶν Ξέρξεω· παραρτέεσθαί τε συνεβούλευε ὡς ἀλεξησομένους. Καὶ ὁ μὲν ταῦτα εἴπας μετεστήκεε, τῶν δὲ αὖτις ἐγίνετο λόγων ἀμφισβασίη· οἱ γὰρ πλεῦνες τῶν στρατηγῶν οὐκ ἐπείθοντο τὰ ἐσαγγελθέντα.

82 Ἀπιστεόντων δὲ τούτων ἧκε τριήρης ἀνδρῶν Τηνίων αὐτομολέουσα, τῆς ἦρχε ἀνὴρ Παναίτιος ὁ Σωσιμένεος, ἥπερ δὴ ἔφερε τὴν ἀληθείην πᾶσαν. Διὰ δὲ τοῦτο τὸ ἔργον ἐνεγράφησαν Τήνιοι ἐν Δελφοῖσι ἐς τὸν τρίποδα ἐν τοῖσι τὸν βάρβαρον κατελοῦσι.

### 6. Ἡ ἐν Σαλαμῖνι ναυμαχία (480).

### (Κεφ. 83 - 93, 95 - 96)

83 Τοῖσι δὲ Ἕλλησι ὡς πιστὰ δὴ τὰ λεγόμενα ἦν τῶν Τηνίων ῥήματα, παρεσκευάζοντο ὡς ναυμαχήσοντες. Ἠώς τε δὴ διέφαινε, καὶ οἳ σύλλογον τῶν ἐπιβατέων ποιησάμενοι, προηγόρευε εὖ ἔχοντα μὲν ἐκ πάντων Θεμιστοκλέης. Τὰ δὲ ἔπεα ἦν πάντα τὰ κρέσσω τοῖσι ἔσσοσι ἀντιτιθέμενα, ὅσα δὴ ἐν ἀνθρώπου φύσι καὶ καταστάσι ἐγγίνεται· παραινέσας δὲ τούτων τὰ κρέσσω αἱρέεσθαι καὶ καταπλέξας τὴν ῥῆσιν, ἐσβαίνειν ἐκέλευε ἐς τὰς νέας. Καὶ οὗτοι μὲν δὴ ἐσέβαινον, καὶ ἧκε ἡ ἀπ' Αἰγίνης τριήρης, ἣ κατὰ τοὺς Αἰακίδας ἀπεδήμησε.

84 Ἐνθαῦτα ἀνῆγον τὰς νέας ἁπάσας οἱ Ἕλληνες. Ἀναγομένοισι δέ σφι αὐτίκα ἐπεκέατο οἱ βάρβαροι. Οἱ μὲν δὴ ἄλλοι Ἕλληνες πρύμνην ἀνεκρούοντο καὶ ὤκελλον τὰς νέας, Ἀμεινίης δὲ Παλληνεύς, ἀνὴρ Ἀθηναῖος, ἐξαναχθεὶς νηὶ ἐμβάλλει. Συμπλακείσης δὲ τῆς νεὸς καὶ οὐ δυναμένων ἀπαλλαγῆναι, οὕτω δὴ οἱ ἄλλοι Ἀμεινίῃ βωθέοντες συνέμισγον. Ἀθηναῖοι μὲν οὕτω λέγουσι τῆς ναυμαχίης γενέσθαι τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀρχήν, Αἰγινῆται δὲ τὴν κατὰ τοὺς Αἰακίδας ἀποδημήσασαν ἐς Αἴγιναν, ταύτην εἶναι τὴν ἄρξασαν. Λέγεται δὲ καὶ τάδε, ὡς φάσμα σφι γυναικὸς ἐφάνη, φανεῖσαν δὲ διακελεύσασθαι, ὥστε καὶ ἅπαν ἀκοῦσαι τὸ τῶν Ἑλλήνων στρατόπεδον, ὀνειδίσασαν πρότερον τάδε· « Ὦ δαιμόνιοι, μέχρι κόσου ἔτι πρύμνην ἀνακρούσεσθε ; »

Κατὰ μὲν δὴ Ἀθηναίους ἐτετάχατο Φοίνικες ( οὗτοι γὰρ 85
εἶχον τὸ πρὸς Ἐλευσῖνός τε καὶ ἑσπέρης κέρας ), κατὰ δὲ Λακεδαιμονίους Ἴωνες· οὗτοι δ' εἶχον τὸ πρὸς τὴν ἠῶ τε καὶ τὸν Πειραιέα. Ἐθελοκάκεον μέντοι αὐτῶν κατὰ τὰς Θεμιστοκλέος ἐντολὰς ὀλίγοι, οἱ δὲ πλεῦνες οὔ. Ἔχω μέν νυν συχνῶν οὐνόματα τριηράρχων καταλέξαι τῶν νέας Ἑλληνίδας ἑλόντων, χρήσομαι δὲ αὐτοῖσι οὐδὲν πλὴν Θεομήστορός τε τοῦ Ἀνδροδάμαντος καὶ Φυλάκου τοῦ Ἱστιαίου, Σαμίων ἀμφοτέρων. Τοῦδε δὲ εἵνεκεν μέμνημαι τούτων μούνων, ὅτι Θεομήστωρ μὲν διὰ τοῦτο τὸ ἔργον Σάμου ἐτυράννευσε καταστησάντων τῶν Περσέων, Φύλακος δὲ εὐεργέτης βασιλέος ἀνεγράφη καὶ χώρῃ οἱ ἐδωρήθη πολλή.

Περὶ μὲν νυν τούτους οὕτω εἶχε· τὸ δὲ πλῆθος τῶν νεῶν 86
ἐν τῇ Σαλαμῖνι ἐκεραΐζετο, αἱ μὲν ὑπ' Ἀθηναίων διαφθειρόμεναι, αἱ δὲ ὑπ' Αἰγινητέων. Ἅτε γὰρ τῶν μὲν Ἑλλήνων σὺν κόσμῳ ναυμαχεόντων κατὰ τάξιν, τῶν δὲ βαρβάρων οὔτε τεταγμένων ἔτι οὔτε σὺν νόῳ ποιεόντων οὐδέν, ἔμελλε τοιοῦτό σφι συνοίσεσθαι, οἷόν περ ἀπέβη. Καίτοι ἦσάν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ ἀμείνονες αὐτοὶ ἑωυτῶν, πᾶς τις προθυμεόμενος καὶ δειμαίνων Ξέρξην, ἐδόκεέ τε ἕκαστος ἑωυτὸν θεήσασθαι βασιλέα.

Κατὰ μὲν δὴ τοὺς ἄλλους οὐκ ἔχω εἰπεῖν ἀτρεκέως, ὡς 87
ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων ἠγωνίζοντο· κατὰ δὲ Ἀρτεμισίην τάδε ἐγένετο, ἀπ' ὧν εὐδοκίμησε μᾶλλον ἔτι παρὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βασιλέϊ. Ἐπειδὴ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλέος πρήγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ νηῦς ἡ Ἀρτεμισίης ἐδιώκετο ὑπὸ νεὸς Ἀττικῆς· καὶ ἣ οὐκ ἔχουσα διαφυγεῖν ( ἔμπροσθεν γὰρ αὐτῆς ἦσαν ἄλλαι νέες φίλιαι, ἡ δὲ αὐτῆς πρὸς τῶν πολεμίων μάλιστα ἐτύγχανε ἐοῦσα ) ἐβουλεύσατο τόδε ποιῆσαι, τὸ καὶ συνήνεικε ποιησάσῃ· διωκομένη γὰρ ὑπὸ τῆς Ἀττικῆς φέρουσα ἐνέβαλε νηὶ φιλίῃ ἀνδρῶν τε Καλυνδέων καὶ αὐτοῦ ἐπιπλέοντος τοῦ Καλυνδέων βασιλέος Δαμασιθύμου. Εἰ μὲν καί τι νεῖκος πρὸς αὐτὸν ἐγεγόνεε ἔτι περὶ Ἑλλήσποντον ἐόντων, οὐ μέντοι ἔγωγε ἔχω εἰπεῖν, οὔτε εἰ ἐκ προνοίης αὐτὰ ἐποίησε, οὔτε εἰ συνεκύρησε ἡ τῶν Καλυνδέων κατὰ τύχην παραπεσοῦσα νηῦς. Ὡς δὲ ἐνέβαλέ τε καὶ κατέδυσε, εὐτυχίῃ χρησαμένη διπλόα ἑωυτὴν ἀγαθὰ ἐργάσατο· ὅ τε γὰρ τῆς Ἀττικῆς νεὸς τριήραρχος, ὡς εἶδέ μιν ἐμβάλλουσαν νηὶ ἀνδρῶν βαρβάρων, νομίσας τὴν νέα τὴν Ἀρτεμισίης ἢ Ἑλληνίδα εἶναι ἢ αὐτομολέειν ἐκ τῶν βαρβάρων καὶ αὐτοῖσι ἀμύνειν, ἀποστρέψας πρὸς ἄλλας ἐτράπετο.

88 Τοῦτο μὲν τοιοῦτο αὐτῇ συνήνεικε γενέσθαι, διαφυγεῖν τε καὶ μὴ ἀπολέσθαι· τοῦτο δὲ συνέβη, ὥστε κακὸν ἐργασαμένην ἀπὸ τούτου αὐτὴν μάλιστα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. Λέγεται γὰρ βασιλέα θηεύμενον μαθεῖν τὴν νέα ἐμβαλοῦσαν καὶ δή τινα εἶπαι τῶν παρεόντων· « Δέσποτα, ὁρᾷς Ἀρτεμισίην, ὡς εὖ ἀγωνίζεται καὶ νέα τῶν πολεμίων κατέδυσε ; » καὶ τὸν ἐπειρέσθαι, εἰ ἀληθέως ἐστὶ Ἀρτεμισίης τὸ ἔργον, καὶ τοὺς φάναι, σαφέως τὸ ἐπίσημον τῆς νεὸς ἐπισταμένους· τὴν δὲ διαφθαρεῖσαν ἠπιστέατο εἶναι πολεμίην. Τά τε γὰρ ἄλλα, ὡς εἴρηται, αὐτῇ συνήνεικε ἐς εὐτυχίην γενόμενα καὶ τὸ τῶν ἐν τῇ Καλυνδικῇ νηὶ μηδένα ἀποσωθέντα κατήγορον γενέσθαι. Ξέρξην δὲ εἶπαι λέγεται πρὸς τὰ φραζόμενα· « Οἱ μὲν ἄνδρες

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



Ἡ ἐν Σαλαμῖνι ναυμαχία

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γεγόνασί μοι γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες». Ταῦτα μὲν Ξέρξην φασὶ εἶπαι.

89 Ἐν δὲ τῷ πόνῳ τούτῳ ἀπὸ μὲν ἔθανε ὁ στρατηγὸς Ἀριαβίγνης ὁ Δαρείου, Ξέρξεω ἐὼν ἀδελφεός, ἀπὸ δὲ ἄλλοι πολλοί τε καὶ οὐνομαστοὶ Περσέων καὶ Μήδων καὶ τῶν ἄλλων συμμάχων, ὀλίγοι δέ τινες καὶ Ἑλλήνων· ἅτε γὰρ νέειν ἐπιστάμενοι, τοῖσι αἱ νέες διεφθείροντο, καὶ οἳ μὴ ἐν χειρῶν νόμῳ ἀπώλλυντο, ἐς τὴν Σαλαμῖνα διένεον. Τῶν δὲ βαρβάρων οἱ πολλοὶ ἐν τῇ θαλάσσῃ διεφθάρησαν, νέειν οὐκ ἐπιστάμενοι. Ἐπεὶ δὲ αἱ πρῶται ἐς φυγὴν ἐτράποντο, ἐνθαῦτα αἱ πλεῖσται διεφθείροντο. Οἱ γὰρ ὄπισθε τεταγμένοι, ἐς τὸ πρόσθε τῇσι νηυσὶ παριέναι πειρώμενοι ὡς ἀποδεξόμενοί τι καὶ αὐτοὶ ἔργον βασιλέϊ, τῇσι σφετέρῃσι νηυσὶ φευγούσῃσι περιέπιπτον.

90 Ἐγένετο δὲ καὶ τόδε ἐν τῷ θορύβῳ τούτῳ· τῶν τινες Φοινίκων, τῶν αἱ νέες διεφθάρατο, ἐλθόντες παρὰ βασιλέα διέβαλλον τοὺς Ἴωνας, ὡς δι' ἐκείνους ἀπολοίατο αἱ νέες, ὡς προδόντων. Συνήνεικε ὦν οὕτω, ὥστε Ἰώνων τε τοὺς στρατηγοὺς μὴ ἀπολέσθαι, Φοινίκων τε τοὺς διαβάλλοντας λαβεῖν τοιόνδε μισθόν· ἔτι τούτων ταῦτα λεγόντων ἐνέβαλε νηὶ Ἀττικῇ Σαμοθρηικίη νηῦς. Ἥ τε δὴ Ἀττικὴ κατεδύετο, καὶ ἐπιφερομένη Αἰγιναίη νηῦς κατέδυσε τῶν Σαμοθρηίκων τὴν νέα. Ἅτε δὲ ἐόντες ἀκοντισταὶ οἱ Σαμοθρήικες τοὺς ἐπιβάτας ἀπὸ τῆς καταδυσάσης νεὸς βάλλοντες ἀπήραξαν καὶ ἐπέβησάν τε καὶ ἔσχον αὐτήν. Ταῦτα γενόμενα τοὺς Ἴωνας ἐρρύσατο· ὡς γὰρ εἶδέ σφεας Ξέρξης ἔργον μέγα ἐργασαμένους, ἐτράπετο πρὸς τοὺς Φοίνικας οἷα ὑπερλυπεόμενός τε καὶ πάντας αἰτιώμενος, καί σφεων ἐκέλευσε τὰς κεφαλὰς ἀποταμεῖν, ἵνα μὴ αὐτοὶ κακοὶ γενόμενοι τοὺς ἀμείνονας διαβάλλωσι. Ὅκως γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωυτοῦ ἔργον τι ἀποδεικνύμενον ἐν τῇ ναυμαχίῃ, κατήμενος ὑπὸ τῷ οὔρεϊ τῷ ἀντίον Σαλαμῖ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νος, τὸ καλέεται Αἰγάλεως, ἀνεπυνθάνετο τὸν ποιήσαντα, καὶ οἱ γραμματισταὶ ἀνέγραφον πατρόθεν τὸν τριήραρχον καὶ τὴν πόλιν.

Τῶν δὲ βαρβάρων ἐς φυγὴν τραπομένων καὶ ἐκπλεόντων 91
πρὸς τὸ Φάληρον Αἰγινῆται ὑποστάντες ἐν τῷ πορθμῷ ἔργα ἀπεδέξαντο λόγου ἄξια. Οἱ μὲν γὰρ Ἀθηναῖοι ἐν τῷ θορύβῳ ἐκεράϊζον τάς τε ἀντισταμένας καὶ τὰς φευγούσας τῶν νεῶν, οἱ δὲ Αἰγινῆται τὰς ἐκπλεούσας· ὅκως δέ τινες τοὺς Ἀθηναίους διαφύγοιεν, φερόμενοι ἐσέπιπτον ἐς τοὺς Αἰγινήτας.

Ἐνθαῦτα συνεκύρεον νέες ἥ τε Θεμιστοκλέος διώκουσα 92
νέα καὶ ἡ Πολυκρίτου τοῦ Κριοῦ, ἀνδρὸς Αἰγινήτεω, νηὶ ἐμβαλοῦσα Σιδωνίῃ. Ὡς δὲ ἐσεῖδε τὴν νέα τὴν Ἀττικὴν ὁ Πολύκριτος, ἔγνω τὸ σημήιον ἰδὼν τῆς στρατηγίδος, καὶ βώσας τὸν Θεμιστοκλέα ἐπεκερτόμησε ἐς τῶν Αἰγινητέων τὸν μηδισμὸν ὀνειδίζων. Ταῦτα μέν νυν τῇ νηὶ ἐμβαλὼν ὁ Πολύκριτος ἀπέρριψε ἐς Θεμιστοκλέα· οἱ δὲ βάρβαροι, τῶν αἱ νέες περιεγένοντο, φεύγοντες ἀπίκοντο ἐς Φάληρον ὑπὸ τὸν πεζὸν στρατόν.

Ἐν δὲ τῇ ναυμαχίῃ ταύτῃ ἤκουσαν Ἑλλήνων ἄριστα 93
Αἰγινῆται, ἐπὶ δὲ Ἀθηναῖοι, ἀνδρῶν δὲ Πολύκριτός τε ὁ Αἰγινήτης καὶ Ἀθηναῖοι Εὐμένης τε ὁ Ἀναγυράσιος καὶ Ἀμεινίης Παλληνεύς, ὃς καὶ Ἀρτεμισίην ἐπεδίωξε. Εἰ μέν νυν ἔμαθε, ὅτι ἐν ταύτῃ πλέοι Ἀρτεμισίη, οὐκ ἂν ἐπαύσατο πρότερον, ἢ εἷλέ μιν ἢ καὶ αὐτὸς ἥλω. Τοῖσι γὰρ Ἀθηναίων τριηράρχοισι παρεκεκέλευστο, πρὸς δὲ καὶ ἄεθλον ἐκέετο μύριαι δραχμαί, ὃς ἄν μιν ζωὴν ἕλῃ· δεινὸν γάρ τι ἐποιεῦντο γυναῖκα ἐπὶ τὰς Ἀθήνας στρατεύεσθαι. Αὕτη μὲν δή, ὡς πρότερον εἴρηται, διέφυγε· ἦσαν δὲ καὶ οἱ ἄλλοι, τῶν αἱ νέες περιεγεγόνεσαν, ἐν τῷ Φαλήρῳ.

Ἀριστείδης δὲ ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος, τοῦ καὶ 95

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὀλίγῳ τι πρότερον τούτων ἐπεμνήσθην ὡς ἀνδρὸς ἀρίστου, οὗτος ἐν τῷ θορύβῳ τούτῳ τῷ περὶ Σαλαμῖνα γενομένῳ τάδε ἐποίεε· παραλαβὼν πολλοὺς τῶν ὁπλιτέων, οἳ παρετετάχατο παρὰ τὴν ἀκτὴν τῆς Σαλαμινίης χώρης, γένος ἐόντες Ἀθηναῖοι, ἐς τὴν Ψυττάλειαν νῆσον ἀπέβησε ἄγων, οἳ τοὺς Πέρ-
96 σας τοὺς ἐν τῇ νησῖδι ταύτῃ κατεφόνευσαν πάντας. Ὡς δὲ ἡ ναυμαχίη διελέλυτο, κατειρύσαντες ἐς τὴν Σαλαμῖνα οἱ Ἕλληνες τῶν ναυηγίων, ὅσα ταύτῃ ἐτύγχανε ἔτι ἐόντα, ἕτοιμοι ἦσαν ἐς ἄλλην ναυμαχίην, ἐλπίζοντες τῇσι περιεούσῃσι νηυσὶ ἔτι χρήσεσθαι βασιλέα.

*[Ὁ Ξέρξης μετὰ τὴν ἧτταν τοῦ στόλου του ἀποφασίζει νὰ ἐπιστρέψῃ εἰς τὴν Ἀσίαν· ἀφήνει ὅμως εἰς τὴν Ἑλλάδα τὸν γαμβρόν του Μαρδόνιον μὲ ἰσχυρὸν στρατόν, διὰ νὰ ἐξακολουθήσῃ τὸν πόλεμον. Ὁ Μαρδόνιος ἐπέρασε τὸν χειμῶνα εἰς τὴν Θεσσαλίαν· ἀπὸ ἐκεῖ, πρὶν ἀρχίσῃ τὰς ἐχθροπραξίας, στέλλει εἰς τὰς Ἀθήνας τὸν βασιλέα τῆς Μακεδονίας Ἀλέξανδρον, διὰ νὰ πείσῃ τοὺς Ἀθηναίους νὰ συμμαχήσουν μὲ τοὺς Πέρσας.]*

### 7. Ὁ Ἀλέξανδρος καὶ Λακεδαιμόνιοι πρέσβεις εἰς τὰς Ἀθήνας. Λόγοι τούτων καὶ ἀπαντήσεις τῶν Ἀθηναίων.

### (Κεφ. 140 - 144)

140 Ἀλέξανδρος δὲ ὡς ἀπίκετο ἐς τὰς Ἀθήνας ἀποπεμφθεὶς ὑπὸ Μαρδονίου, ἔλεγε τάδε·

α ) « Ἄνδρες Ἀθηναῖοι, Μαρδόνιος τάδε λέγει· ἐμοὶ ἀγγελίη ἥκει παρὰ βασιλέος λέγουσα οὕτω· Ἀθηναίοισι τὰς ἁμαρτάδας τὰς ἐξ ἐκείνων ἐς ἐμὲ γενομένας πάσας μετίημι. Νῦν τε ὧδε, Μαρδόνιε, ποίεε. Τοῦτο μὲν τὴν γῆν σφι ἀπόδος, τοῦτο δὲ ἄλλην πρὸς ταύτῃ ἑλέσθων αὐτοί, ἥντινα ἂν ἐθέλωσι, ἐόντες αὐτόνομοι. Ἱρά τε πάντα σφι, ἢν δὴ βούλωνταί γε ἐμοὶ ὁμολογέειν, ἀνόρθωσον, ὅσα ἐγὼ ἐνέπρησα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

» Τούτων δὲ ἀπιγμένων ἀναγκαίως ἔχει μοι ποιέειν ταῦτα, ἢν μὴ τὸ ὑμέτερον ἀντίον γένηται. Λέγω δὲ ὑμῖν τάδε νῦν· τί μαίνεσθε πόλεμον βασιλέϊ ἀνταειρόμενοι ; Οὔτε γὰρ ἂν ὑπερβάλοισθε, οὔτε οἱοί τέ ἐστε ἀντέχειν τὸν πάντα χρόνον. Εἴδετε μὲν γὰρ τῆς Ξέρξεω στρατηλασίης τὸ πλῆθος καὶ τὰ ἔργα, πυνθάνεσθε δὲ καὶ τὴν νῦν παρ' ἐμοὶ ἐοῦσαν δύναμιν, ὥστε καὶ ἢν ἡμέας ὑπερβάλησθε καὶ νικήσητε, τοῦπερ ὑμῖν οὐδεμία ἐλπίς, εἴπερ εὖ φρονέετε, ἄλλη παρέσται πολλαπλησίη. Μὴ ὦν βούλεσθε παρισούμενοι βασιλέϊ στέρεσθαι μὲν τῆς χώρης, θέειν δὲ αἰεὶ περὶ ὑμέων αὐτῶν, ἀλλὰ καταλύσασθε. Παρέχει δὲ ὑμῖν κάλλιστα καταλύσασθαι, βασιλέος ταύτῃ ὡρμημένου. Ἔστε ἐλεύθεροι, ἡμῖν ὁμαιχμίην συνθέμενοι ἄνευ τε δόλου καὶ ἀπάτης.

β ) » Μαρδόνιος μὲν ταῦτα, ὦ Ἀθηναῖοι, ἐνετείλατό μοι εἰπεῖν πρὸς ὑμέας. Ἐγὼ δὲ περὶ μὲν εὐνοίης τῆς πρὸς ὑμέας ἐούσης ἐξ ἐμεῦ οὐδὲν λέξω ( οὐ γὰρ ἂν νῦν πρῶτον ἐκμάθοιτε ), προσχρηΐζω δὲ ὑμέων πείθεσθαι Μαρδονίῳ. Ἐνορέω γὰρ ὑμῖν οὐκ οἵοισί τε ἐσομένοισι τὸν πάντα χρόνον πολεμέειν Ξέρξῃ. Εἰ γὰρ ἐνώρων τοῦτο ἐν ὑμῖν, οὐκ ἄν κοτε ἐς ὑμέας ἦλθον ἔχων λόγους τούσδε· καὶ γὰρ δύναμις ὑπὲρ ἄνθρωπον ἡ βασιλέος ἐστὶ καὶ χεὶρ ὑπερμήκης. Ἢν ὦν μὴ αὐτίκα ὁμολογήσητε, μεγάλα προτεινόντων, ἐπ' οἷσι ὁμολογέειν ἐθέλουσι, δειμαίνω ὑπὲρ ὑμέων ἐν τρίβῳ τε μάλιστα οἰκημένων τῶν συμμάχων πάντων, αἰεί τε φθειρομένων μούνων, ἐξαίρετόν τι μεταίχμιον τὴν γῆν ἐκτημένων. Ἀλλὰ πείθεσθε· πολλοῦ γὰρ ὑμῖν ἄξια ταῦτα, εἰ βασιλεύς γε ὁ μέγας μούνοισι ὑμῖν Ἑλλήνων τὰς ἁμαρτάδας ἀπιεὶς ἐθέλει φίλος γενέσθαι ». Ἀλέξανδρος μὲν ταῦτα ἔλεξε.

Λακεδαιμόνιοι δὲ πυθόμενοι ἥκειν Ἀλέξανδρον ἐς Ἀθή- 141
νας ἐς ὁμολογίην ἄξοντα τῷ βαρβάρῳ Ἀθηναίους, ἀναμνη-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σθέντες τῶν λογίων, ὥς σφεας χρεόν ἐστι ἅμα τοῖσι ἄλλοισι Δωριεῦσι ἐκπίπτειν ἐκ Πελοποννήσου ὑπὸ Μήδων τε καὶ Ἀθηναίων, κάρτα τε ἔδεισαν, μὴ ὁμολογήσωσι τῷ Πέρσῃ Ἀθηναῖοι, αὐτίκα τέ σφι ἔδοξε πέμπειν ἀγγέλους. Καὶ δὴ συνέπιπτε, ὥστε ὁμοῦ σφέων γίνεσθαι τὴν κατάστασιν. Ἐπανέμειναν γὰρ οἱ Ἀθηναῖοι διατρίβοντες, εὖ ἐπιστάμενοι, ὅτι ἔμελλον Λακεδαιμόνιοι πεύσεσθαι ἥκοντα παρὰ τοῦ βαρβάρου ἄγγελον ἐπ' ὁμολογίῃ, πυθόμενοί τε πέμψειν κατὰ τάχος ἀγγέλους. Ἐπίτηδες ὦν ἐποίευν, ἐνδεικνύμενοι τοῖσι Λακεδαιμονίοισι τὴν ἑωυτῶν γνώμην.

142 Ὡς δὲ ἐπαύσατο λέγων Ἀλέξανδρος, διαδεξάμενοι ἔλεγον οἱ ἀπὸ Σπάρτης ἄγγελοι· « Ἡμέας δὲ ἔπεμψαν Λακεδαιμόνιοι δεησομένους ὑμέων μήτε νεώτερον ποιέειν μηδὲν κατὰ τὴν Ἑλλάδα μήτε λόγους ἐνδέκεσθαι παρὰ τοῦ βαρβάρου. Οὔτε γὰρ δίκαιον οὐδαμῶς, οὔτε κόσμον φέρον οὔτε γε ἄλλοισι Ἑλλήνων οὐδαμοῖσι, ὑμῖν δὲ δὴ καὶ διὰ πάντων ἥκιστα πολλῶν εἵνεκεν· ἠγείρατε γὰρ τόνδε τὸν πόλεμον ὑμεῖς οὐδὲν ἡμέων βουλομένων, καὶ περὶ τῆς ὑμετέρης ἀρχῆς ὁ ἀγὼν ἐγένετο· νῦν δὲ φέρει καὶ ἐς πᾶσαν τὴν Ἑλλάδα. Ἄλλως τε τούτων ἁπάντων αἰτίους γενέσθαι δουλοσύνης τοῖσι Ἕλλησι Ἀθηναίους οὐδαμῶς ἀνασχετόν, οἵτινες αἰεὶ καὶ τὸ πάλαι φαίνεσθε πολλοὺς ἐλευθερώσαντες ἀνθρώπων.

» Πιεζομένοισι μέντοι ὑμῖν συναχθόμεθα, καὶ ὅτι καρπῶν ἐστερήθητε διξῶν ἤδη, καὶ ὅτι οἰκοφθόρησθε χρόνον ἤδη πολλόν. Ἀντὶ τούτων δὲ ὑμῖν Λακεδαιμόνιοί τε καὶ οἱ σύμμαχοι ἐπαγγέλλονται γυναῖκάς τε καὶ τὰ ἐς πόλεμον ἄχρηστα οἰκετέων ἐχόμενα πάντα ἐπιθρέψειν, ἔστ' ἂν ὁ πόλεμος ὅδε συνεστήκῃ. Μηδὲ ὑμέας Ἀλέξανδρος ὁ Μακεδὼν ἀναγνώσῃ, λεήνας τὸν Μαρδονίου λόγον. Τούτῳ μὲν γὰρ ταῦτα ποιητέα ἐστί· τύραννος γὰρ ἐὼν τυράννῳ συγκατεργάζεται· ὑμῖν δέ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γε οὐ ποιητέα, εἴπερ εὖ τυγχάνετε φρονέοντες, ἐπισταμένοισι, ὡς βαρβάροισί ἐστι οὔτε πιστὸν οὔτε ἀληθὲς οὐδέν ». Ταῦτα ἔλεξαν οἱ ἄγγελοι.

Ἀθηναῖοι δὲ πρὸς μὲν Ἀλέξανδρον ὑπεκρίναντο τάδε· 143
« Καὶ αὐτοὶ τοῦτό γε ἐπιστάμεθα, ὅτι πολλαπλησίη ἐστὶ τῷ Μήδῳ δύναμις ἤπερ ἡμῖν, ὥστε οὐδὲν δεῖ τοῦτό γε ὀνειδίζειν. Ἀλλ' ὅμως ἐλευθερίης γλιχόμενοι ἀμυνεύμεθα οὕτω, ὅκως ἂν καὶ δυνώμεθα. Ὁμολογῆσαι δὲ τῷ βαρβάρῳ μήτε σὺ ἡμέας πειρῶ ἀναπείθειν οὔτε ἡμεῖς πεισόμεθα. Νῦν δὲ ἀπάγγελλε Μαρδονίῳ, ὡς Ἀθηναῖοι λέγουσι, ἔστ' ἂν ὁ ἥλιος τὴν αὐτὴν ὁδὸν ἴῃ, τῇ καὶ νῦν ἔρχεται, μήκοτε ὁμολογήσειν ἡμέας Ξέρξῃ· ἀλλὰ θεοῖσί τε συμμάχοισι πίσυνοί μιν ἐπέξιμεν ἀμυνόμενοι καὶ τοῖσι ἥρωσι, τῶν ἐκεῖνος οὐδεμίαν ὄπιν ἔχων ἐνέπρησε τούς τε οἴκους καὶ τὰ ἀγάλματα. Σύ τε τοῦ λοιποῦ λόγους ἔχων τοιούσδε μὴ ἐπιφαίνεο Ἀθηναίοισι, μηδὲ δοκέων χρηστὰ ὑπουργέειν ἀθέμιτα ἔρδειν παραίνεε. Οὐ γάρ σε βουλόμεθα οὐδὲν ἄχαρι πρὸς Ἀθηναίων παθεῖν, ἐόντα πρόξεινόν τε καὶ φίλον ».

Πρὸς μὲν Ἀλέξανδρον ταῦτα ὑπεκρίναντο, πρὸς δὲ τοὺς 144
ἀπὸ Σπάρτης ἀγγέλους τάδε· « Τὸ μὲν δεῖσαι Λακεδαιμονίους, μὴ ὁμολογήσωμεν τῷ βαρβάρῳ, κάρτα ἀνθρωπήϊον ἦν. Ἀτὰρ αἰσχρῶς γε οἴκατε ἐξεπιστάμενοι τὸ Ἀθηναίων φρόνημα ἀρρωδῆσαι, ὅτι οὔτε χρυσός ἐστι γῆς οὐδαμόθι τοσοῦτος οὔτε χώρη κάλλεϊ καὶ ἀρετῇ μέγα ὑπερφέρουσα, τὰ ἡμεῖς δεξάμενοι ἐθέλοιμεν ἂν μηδίσαντες καταδουλῶσαι τὴν Ἑλλάδα. Πολλά τε γὰρ καὶ μεγάλα ἐστὶ τὰ διακωλύοντα ταῦτα μὴ ποιέειν, μηδ' ἢν ἐθέλωμεν· πρῶτα μὲν καὶ μέγιστα τῶν θεῶν τὰ ἀγάλματα καὶ τὰ οἰκήματα ἐμπεπρησμένα τε καὶ συγκεχωσμένα, τοῖσι ἡμέας ἀναγκαίως ἔχει τιμωρέειν ἐς τὰ μέγιστα μᾶλλον ἤπερ ὁμολογέειν τῷ ταῦτα ἐργασαμένῳ, αὖτις δὲ τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἑλληνικὸν ἐὸν ὅμαιμόν τε καὶ ὁμόγλωσσον, καὶ θεῶν ἱδρύματά τε κοινὰ καὶ θυσίαι ἤθεά τε ὁμότροπα, τῶν προδότας γενέσθαι Ἀθηναίους οὐκ ἂν εὖ ἔχοι. Ἐπίστασθέ τε οὕτω, εἰ μὴ πρότερον ἐτυγχάνετε ἐπιστάμενοι, ἔστ' ἂν καὶ εἷς περιῇ Ἀθηναίων, μηδαμὰ ὁμολογήσοντας ἡμέας Ξέρξῃ.

»Ὑμέων μέντοι ἀγάμεθα τὴν πρόνοιαν τὴν πρὸς ἡμέας ἐοῦσαν, ὅτι προείδετε ἡμέων οἰκοφθορημένων οὕτω, ὥστε ἐπιθρέψαι ἐθέλειν ἡμέων τοὺς οἰκέτας. Καὶ ὑμῖν μὲν ἡ χάρις ἐκπεπλήρωται, ἡμεῖς μέντοι λιπαρήσομεν οὕτω, ὅκως ἂν ἔχωμεν, οὐδὲν λυπέοντες ὑμέας.

» Νῦν δέ, ὡς οὕτω ἐχόντων, στρατιὴν ὡς τάχιστα ἐκπέμπετε. Ὡς γὰρ ἡμεῖς εἰκάζομεν, οὐκ ἑκὰς χρόνου παρέσται ὁ βάρβαρος ἐσβαλὼν ἐς τὴν ἡμετέρην, ἀλλ' ἐπεὰν τάχιστα πύθηται τὴν ἀγγελίην, ὅτι οὐδὲν ποιήσομεν, τῶν ἐκεῖνος ἡμέων προσεδέετο. Πρὶν ὦν παρεῖναι ἐς τὴν Ἀττικήν, ἡμέας καιρός ἐστι προβωθῆσαι ἐς τὴν Βοιωτίην ». Ταῦτα ὑποκριναμένων Ἀθηναίων οἱ ἀπὸ Σπάρτης ἄγγελοι ἀπαλλάσσοντο ἐς Σπάρτην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΜΕΡΟΣ Β'

# I. ΓΡΑΜΜΑΤΙΚΗ ΤΗΣ ΙΩΝΙΚΗΣ ΔΙΑΛΕΚΤΟΥ
# II. ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# I. ΓΡΑΜΜΑΤΙΚΗ ΤΗΣ ΙΩΝΙΚΗΣ ΔΙΑΛΕΚΤΟΥ

## ΑΙ ΚΥΡΙΩΤΕΡΑΙ ΔΙΑΦΟΡΑΙ ΤΗΣ ΙΩΝΙΚΗΣ ΔΙΑΛΕΚΤΟΥ ΑΠΟ ΤΗΣ ΑΤΤΙΚΗΣ

### Α'. ΦΩΝΗΕΝΤΑ

#### Ἀνταλλαγὴ φωνηέντων.

α') Παρ' Ἡροδότῳ ὑπάρχει **η** ἀντὶ τῶν παρ' Ἀττικοῖς **ᾱ** καὶ **ᾰ** καὶ ἀντιστρόφως: **σοφίη, θεήσομαι, ἠήρ, πρήσσω, Θρῆιξ, τριηκόσιοι, πέρην, νηός, νηῦς, νηυσί. — πρῴρη, ἀληθείη. — μεσαμβρίη. — α** ἀντὶ **ο** ὑπάρχει ἐν τοῖς **ἀρρωδία, ἀρρωδέω.**

β') **ε** ἀντὶ **α** καὶ **ει** καὶ ἀντιστρόφως: **τέσσερες. — κρέσσων, μέζων, ἔργω, ἐδέχθην, δεδέχθαι** (τοῦ ρ. δείκνυμι), **ἔωθα,** (εἰς τὰ θηλυκὰ τῶν εἰς **υς** ἐπιθέτων) **θήλεα, ταχέα. — τράπω, τάμνω. — κεινός, ξεῖνος, στεινός, εἰρωτάω, εἵνεκεν, εἰρύω, εἰρέσθαι.**

γ') **ω** ἀντὶ **αυ, ου, οη: τρῶμα, θῶμα, θωμάζω. — ὦν, γῶν** (= οὖν, γοῦν). — **ὀγδώκοντα, ἔβωσα, βωθέω. — ωυ** ἀντὶ **αυ: ἐμεωυτοῦ, σεωυτοῦ, ἑωυτοῦ.**

δ') **ου** ἀντὶ **ο: μοῦνος** (= μόνος), **νοῦσος, οὖρος** (= ὅρος), **οὔνομα, οὐνομάζω.**

#### Συναίρεσις.

Ἡ συναίρεσις παραλείπεται συχνάκις παρ' Ἡροδότῳ καὶ ἐν τῇ κλίσει καὶ ἐν τῇ ρίζῃ: **πλόος, χρύσεος, βασιλέι, βασιλέες, ῥίγεϊ, γένεος, ἀληθέα, Θεμιστοκλέης. — μενέομεν, ἀποβαλέεις, φαίνεαι, πείθεο, φανέωσι, ποιέω, ποιέεις, ποίεε. — ἔαρ, ὀϊστός, δηιόω, ῥηίδιος, βασιληίη, ἀνθρωπήιος, οἰκηίη, ἀνδρήιος, ἄεθλος** κτλ.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### Χασμωδία, ἔκθλιψις, κρᾶσις.

Ἡ χασμωδία εἶναι συνηθεστάτη· ὅθεν

1 ) ἐλλείπει

α′ ) τὸ εὐφωνικὸν **ν**·

β′ ) τὸ **σ** ἐν τοῖς **ἄχρι, μέχρι, οὕτω**·

2 ) τὸ **οὐ** εὑρίσκεται πρὸ φωνήεντος καὶ ἄνευ τοῦ **κ**.

Ἡ δ' ἔκθλιψις καὶ ἡ κρᾶσις εἶναι σπανία παρ' Ἡροδότῳ· ἰδιάζουσα παρ' αὐτῷ εἶναι ἡ κρᾶσις τοῦ **ο-α** εἰς **ω**· **ὠνήρ, ωὑτός, τωὐτό**.

### Β′. ΣΥΜΦΩΝΑ

α′ ) Ἀντὶ **π** ὑπάρχει **κ** εἰς ὅλα τὰ ἀντωνυμικὰ ἐπίθετα καὶ ἐπιρρήματα τὰ σχηματιζόμενα ἐκ θέματος **πο: κοῖος, ὁκοῖος, κόσοι, κότερος, κῇ, κότε, κοῦ, ὅκως** κτλ. — ἀλλὰ **ὁποδαπός**.

β′ ) Ἀντὶ **χ** ὑπάρχει **κ** : **δέκομαι, οὐκί**·

γ′ ) Ἀντὶ **σ** ὑπάρχει **δ** : **ὀδμή, ἴδμεν**·

δ′ ) Ἀντὶ **θ** ὑπάρχει **τ** : ἐν τῷ **αὖτις**·

ε′ ) Μετάθεσις τοῦ δασέος γίνεται ἐν τοῖς : **ἐνθεῦτεν** ( = ἐντεῦθεν ), **ἐνθαῦτα** ( = ἐνταῦθα ), **κιθὼν** ( = χιτών ).

ϛ′ ) Τὰ ψιλὰ πρὸ δασυνομένου φωνήεντος δὲν τρέπονται εἰς δασέα οὔτε ἐν τῷ μέσῳ οὔτε ἐν τέλει λέξεως : **ἐπεξῆς, αὐτημερόν, ἀπικνέομαι, ἀπῆκε, μετίημι. — ἀπ' οὗ, μετ' οὗ, οὐκ ἕτερος.**

*Ὁ δυϊκὸς ἀριθμὸς ἐλλείπει καὶ ἐν τοῖς ὀνόμασι καὶ ἐν τοῖς ῥήμασι.*

### Γ′. ΚΛΙΣΕΙΣ

### Πρώτη κλίσις.

α′ ) Ἡ ἑνικὴ γενκ. τῶν εἰς **-ης** λήγει εἰς **-εω**, τῶν εἰς **-εης** εἰς **-εω** : Πέρσης, γενκ. **Πέρσεω**, Ξέρξης - **Ξέρξεω**, πολιήτης - **πολιήτεω**. — βορέης, γενκ. **βορέω**, Ἑρμέης - **Ἑρμέω**.

β′ ) Ἡ ἑνικὴ αἰτ. πολλῶν κυρίων ὀνομάτων εἰς **-ης** λήγει ἄλλοτε μὲν εἰς **-ην** : **Ξέρξην, Λεωνίδην**, ἄλλοτε δὲ εἰς **-εα** : **Ξέρξεα, Λεωνίδεα**.

γ′ ) Ἡ γενκ. πληθ. λήγει εἰς **-έων** : **γνωμέων, πολιητέων, λοιπέων, πολλέων, αὐτέων, ἐουσέων**.

Ἐξαίρεσις: Ἐξαιροῦνται τὰ θηλυκὰ τῶν βαρυτόνων ἐπιθέτων, μετοχῶν καὶ ἀντωνυμιῶν εἰς **-ος, -η, -ον**, τῶν ὁποίων ἡ γενκ. πληθ. εἶναι ὁμοία τῇ τῶν ἀρσενικῶν : **ἄλλων, φίλων, ἐκείνων, ἁλισκομένων, τούτων**.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ' ) Ἡ δοτκ. πληθ. λήγει εἰς **-ῃσι ( -ῇσι )** : **γνώμῃσι, τιμῇσι, λοιπῇσι, αὐτῇσι.**

## Δευτέρα κλίσις.

Ἡ δοτκ. πληθ. εἰς **- οισι ( - οῖσι )** : **λόγοισι, θεοῖσι.**

Τὰ οὐσιαστικὰ καὶ τὰ ἐπίθετα εἰς **- οος, - εος** δὲν συναιροῦνται : **πλόος, ἁπλόος, διπλόος, διπλόη, χρύσεος, χρυσέη, ὀστέον.**

Σημ. Κατὰ τὴν δευτέραν ἀττικὴν κλίσιν ὀλίγα ὀνόματα κλίνονται :

α') Τὰ κύρια ὀνόματα τὰ καταλήγοντα εἰς **-λεως** : **Μενέλεως, Χαρίλεως, Ἀρκεσίλεως, Θρασύλεως,** β') τὰ **Μίνως, Ἄθως, Ἀμφιάρεως.** Ἀντὶ δὲ τῶν **λεώς, νεώς, κάλως, λαγὼς** μεταχειρίζεται ὁ Ἡρ. τοὺς ἰωνικοὺς τύπους: **ληός, νηός, κάλος, λαγός·** καὶ ἀντὶ τῶν ἐπιθέτων **πλέως, ἵλεως, ἀξιόχρεως** τοὺς ἰωνικοὺς τύπους **πλέος, η, ον – ἵλεος, ον – ἀξιόχρεος, ον.**

## Τρίτη κλίσις.

α' ) Τὰ κύρια ὀνόματα εἰς **- κλέης** κλίνονται οὕτω : **Θεμιστοκλέης, -κλέος, -κλέι, -κλέα, -κλέες.**

β' ) Τὰ εἰς **- ις** λήγοντα ὀνόματα κλίνονται οὕτω : **πόλις, πόλιος, πόλι, πόλιν· πόλιες, πολίων, πόλισι, πόλις** ἢ **πόλιας.**

γ' ) Τὰ οὐσιαστικὰ εἰς **- εὺς** κλίνονται οὕτω : **βασιλεύς, βασιλέος, βασιλέι, βασιλέα, βασιλεῦ· -έες, - έων, -εῦσι, - έας.**

δ' ) Τὸ **κέρας** κλίνεται οὕτω : **κέρας, κέρεος, κέρεϊ· κέρεα, κερέων.**

ε' ) Τὸ **νηῦς** (= ἀττ. ναῦς ) κλίνεται οὕτω : **νηῦς, νεός, νηί, νέα· νέες, νεῶν, νηυσί, νέας.**

## Ἐπίθετα, παραθετικά, ἀριθμητικά.

α' ) Ἀντὶ τοῦ **πολὺς** ὑπάρχει πολλάκις **πολλός·** τὸ δὲ οὐδέτερον εἶναι **πολλὸν** καὶ **πολύ.**

β' ) Ἐπίθετα εἰς **- εος** καὶ **- ηιος** (= ἀττ. - εῖος ) διατηροῦν ἐν τοῖς παραθετικοῖς τὸ **ο** καὶ προηγουμένης βραχείας συλλαβῆς : **ἐπιτηδεότερος, - ότατος** ( διότι = ἀττ. ἐπιτηδειότατος ), **ἀνδρηιότερος, οἰκηιότερος** ( διότι τὸ **ηι** θεωρητέον ὡς δίφθογγος ).

γ' ) Τοῦ **ταχὺς** συγκριτικὸν **ταχύτερος** καὶ **θάσσων·** ὑπερθ. **τάχιστος.**

δ' ) Τὸ **πολλὸς** ἐν τῇ ὀνομ. τοῦ συγκριτ. ἔχει **πλέων, πλέον** καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**πλεῦν**, ἐν δὲ ταῖς ἄλλαις πτώσεσι : **πλέονι πλέονα** ( **πλέω** ), **πλεόνων**, **πλέοσι** ἀλλὰ καί : **πλεῦνος**, **πλεῦνα**, **πλεῦνες**, **πλεύνων**, **πλεῦνας**.

ε′ ) Τὸ ἀριθμ. **δύο** ἄλλοτε μὲν εἶναι ἄκλιτον, ἄλλοτε δὲ κλίνεται : **δύο**, **δυῶν**, **δυοῖσι**, **δύο**.

Ἀντὶ τοῦ δώδεκα λέγει ὁ Ἡρ. **δυώδεκα**, ἀντὶ τοῦ τέσσαρες, **τέσσερες**, ὡσαύτως **τεσσερεσκαίδεκα**.

## Ἀντωνυμίαι.

α′ ) Ἀντὶ τῆς γενκ. ἐμοῦ, σοῦ ἀπαντοῦν οἱ τύποι **ἐμέο** ἢ **ἐμεῦ**, **σέο** ἢ **σεῦ**.

Ἡ δοτκ. τῆς προσωπικῆς ἀντων. τοῦ β′ προσ. ἀπαντᾷ **σοὶ** ὀρθοτονουμένη καὶ **τοι** ἐγκλιτική. Ἡ αἰτ. τοῦ γ′ προσ. ἀπαντᾷ **μιν** ( ἐγκλιτικὴ ) ἀντὶ αὐτόν, αὐτὴν καὶ ἑαυτόν, ἑαυτήν, ἡ δὲ δοτκ. πληθ. **σφίσι** ἀντὶ ἑαυτοῖς, ἑαυταῖς, καὶ **σφι** ( ἐγκλ. ) ἀντὶ αὐτοῖς, αὐταῖς. Ἐκτὸς τούτου ὁ Ἡρ. ἔχει καὶ οὐδ. πληθ. **σφέα** = αὐτά.

β′ ) Τῶν ἀναφορικῶν ἀντων. σχηματίζονται, πλὴν τῶν ὀνομαστικῶν **ὅ**, **ἥ**, **οἵ**, **αἵ**, ἐν πάσαις ταῖς πτώσεσι τύποι ἀπὸ **τ** ἀρχόμενοι : **τοῦ**, **τῆς**, **τῶν**, **τά**.

Μετὰ τὰς προθέσεις ὅμως ἐκθλιβομένας κεῖνται οἱ ἀπὸ φωνήεντος ἀρχόμενοι τύποι : **ἀντ᾽ ὧν**, **ἀπ᾽ οὗ**, **μετ᾽ ἧς** κτλ.

Ὡσαύτως ἐν χρονικαῖς ἐκφράσεσιν οὐδέποτε ἀπαντοῦν οἱ ἀπὸ **τ** ἀρχόμενοι τύποι : **ἐν ᾧ**, **ἐξ οὗ**, **ἐς ὅ**, **ἕως οὗ**.

γ′ ) Ἡ **ὅστις** σχηματίζει τοὺς ἑξῆς τύπους : ἐν τῇ γενκ. τοῦ ἑνικοῦ **ὅτευ**, ἐν τῇ δοτκ. **ὅτεῳ** · ἐν τῇ πληθυντ. γενκ. **ὅτεων**, δοτκ. **ὀτέοισι**· οὐδ. πληθ. **ἅσσα**.

δ′ ) Ἡ ἐρωτηματικὴ ἀντωνυμία **τίς** ἔχει γενκ. **τεῦ**, δοτκ. **τέῳ** καὶ **τίνι**· πληθ. **τέων**, δοτκ. **τέοισι**· τοὺς αὐτοὺς τύπους ( ἀλλ᾽ ἐγκλιτικοὺς ) ἔχει καὶ ἡ ἀόριστος ἀντωνυμία.

## Δ′. ΡΗΜΑΤΑ

### Αὔξησις.

α′ ) Οἱ παρατατικοὶ εἰς **-σκον** καὶ **-σκόμην** τῶν θαμιστικῶν ρημάτων δὲν λαμβάνουν αὔξησιν οὔτε συλλαβικὴν οὔτε χρονικήν : **φεύ-**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**γεσκον, ἄγεσκον, ποιέεσκον, ὀδυρέσκετο·** καὶ ἐν τῷ ὑπερσυντλ. ἐλλείπει πολλάκις ἡ συλλαβικὴ αὔξησις : **δέδοκτο, καταλέλειπτο.**

Τὰ ρήματα **βούλομαι, δύναμαι** καὶ **μέλλω** ἔχουν **ε.**

β' ) Ἡ χρονικὴ αὔξησις παρά τισι ρήμασιν ἐλλείπει πάντοτε, ὡς **ἀγινέω, ἀμείβομαι** κ. ἄλ., ἰδίως παρὰ πᾶσι τοῖς ἀπὸ **αι, αυ, ει, ευ** καὶ **οι** ἀρχομένοις ρήμασι.

γ' ) Ὁ παρατατικὸς τοῦ **ὁρέω** ( = ὁράω ) ἀπαντᾷ **ὥρων.**

## Καταλήξεις.

α' ) Μένουσιν ἀσυναίρετοι αἱ καταλήξεις **-αο, -εαι, -εο** ( ἡ τελευταία συναιρεῖται μόνον εἰς **-ευ** ): **ἐργάσαο, οἴχεαι, ἐγένεο.** Ὡσαύτως ἡ **-εω** ἐν τῇ ὑποτακτικῇ τοῦ παθ. ἀορίστου ( **αἱρεθέω, αἱρεθέωμεν** ) καὶ τοῦ ἀορ. β' ἐνεργ. ( **θέω, θέωμεν** κτλ. )· ὁμοίως ἡ **-εω** καὶ **-εομεν** ἐν τῷ μέλλοντι τῶν ὑγρολήκτων ρημάτων ( **σημανέω, σημανέομεν** ).

β' ) Ὁ ἐνεργ. ὑπερσυντ. ἔχει τὰς καταλήξεις **-εα, -εας, -εε, -εατε : ἐώθεα, ἐώθεας, ἐώθεε, ἐωθέατε.**

γ' ) Ἀντὶ τῶν καταλήξεων **-νται** καὶ **-ντο** ἀπαντοῦν **-αται** καὶ **-ατο** 1 ) ἐν τῷ παθ. παρακμ. καὶ ὑπερσυντ. ( **ἀπίκατο** = ἀφιγμένοι ἦσαν, **ἐτετάχατο, τετύφαται, ἐσκευάδαται, δεδέχαται** )· 2 ) ἐν τῇ ὁριστικῇ τοῦ παθ. ἐνεστῶτος καὶ παρατκ. τῶν εἰς **-μι** ρημάτων ( **τιθέαται, ἱστέαται, δυνέαται, ἐδεικνύατο, ἐκέατο** )· 3 ) ἐν τῇ εὐκτικῇ ( **γενοίατο, ἀγοίατο, τεισαίατο** ).

## Συνῃρημένα.

α' ) Τὰ εἰς **-εω** μένουν ὡς ἐπὶ τὸ πλεῖστον ἀσυναίρετα : **καλέω, καλέεις, καλέῃς, καλέοιμι, κάλεε, καλέειν** κτλ. Ἀλλὰ καὶ **δεῖ, δεῖν**, παρατκ. ὅμως **ἔδεε.**

Πολλάκις τὸ **-εο** συναιρεῖται εἰς **-ευ: ποιεῦσι, ποιεύμενος, ἐποιεῦντο.**

Ἡ κατάληξις τῆς προστακτικῆς **-εεο** βραχύνεται εἰς **-εο: ἡγέο, λυπέο, ποιέο** καὶ ἡ **-εεαι** εἰς **-εαι: φοβέαι.**

β' ) Τὰ εἰς **-αω** συναιροῦνται ὡς ἐν τῇ ἀττικῇ διαλέκτῳ· εἴς τινα ὅμως ρήματα εἰς **-αω** τὸ **α** πρὸ ἑπομένου **ο** ἐξασθενοῦται εἰς **ε: ὁρέω, ὁρέων, φοιτέω, εἰρωτέω, ὁρέομεν** κτλ. Εἰς τὸ **χράομαι** τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**-αω** πανταχοῦ γίνεται **-εω** ( **χρέωνται, χρεώμενος** ), τὸ δὲ **-αε, -αη** τοὐναντίον εἰς **ᾱ** ( **χρᾶται, χρᾶσθαι** ). Ἀλλὰ **χρεὸν** ἀντὶ **χρεών**.

γ΄ ) Καὶ τὰ εἰς **-οω** συναιροῦνται ὡς ἐν τῇ ἀττικῇ, διαφέρουν μόνον ὅτι ἀντὶ τοῦ **-ου** ἔχουν καὶ **-ευ** ( **ἐδικαίευ, ἀξιεῦμεν, ἀξιεῦσι** ).

## Ρήματα εἰς -μι.

Τὰ εἰς **-μι** ρήματα ἔχουν τύπους τινὰς κατ' ἀναλογίαν τῶν εἰς **-αω, -εω, -οω** καὶ **-ύω**: **τιθεῖ, ἐξιεῖ, ὑποθέοιτο, διδοῖ, ἐδείκνυε**. Τὸ γ΄ πληθ. πρόσ. τοῦ **τίθημι** ἀπαντᾷ **τιθεῖσι**, ὁ παρατκ. **ἐτίθεα, ἐτίθεις, ἐτίθει**.

Τοῦ **εἰμὶ** τὸ β΄ ἑν. πρόσ. εἶναι **εἶς**, τὸ α΄ πληθ. **εἰμέν**· ἡ ὑποτακτ. **ἔω, ἔῃς, ἔῃ** καὶ **ἔωσι**, ἡ μτχ. **ἐών, ἐοῦσα, ἐόν**· ὁ παρατκ. **ἔα** καὶ **ἔατε** πολλάκις **ἔσκε, ἔσκον** καὶ **ἦν**.

Τὸ **εἶμι** σχηματίζει τὸν παρατκ. **ἤια, ἤιε** καὶ **ἤισαν**· οὕτω καὶ τὰ σύνθετα.

## Ἀνώμαλά τινα ρήματα παρ' Ἡροδότῳ.

1. **αἱρέω**, παρκμ. **ἀραίρηκα, ἀραίρημαι**.
2. **εἶπα**, ἀπαρέμφ. **εἶπαι**, μτχ. **εἴπας**· **εἴπασθαι**. Παθ. ἀόρ. α΄ **εἰρέθην**, μτχ. **ῥηθείς**· μέλλ. παθ. **εἰρήσεται** ( ἀντὶ **ῥηθήσεται** ).
3. **ἵημι**, ἐκ τοῦ **ἀπίημι**: **ἀπίεσαν, ἀπειμένος, ἀπεῖτο, ἀπείθη**· ἐκ τοῦ **ἀνίημι**: **ἀνειμένος**· ἐκ τοῦ **μετίημι**: **μεμετιμένος, μετείθη**.
4. **λαγχάνω**, μέλλ. **λάξομαι**, παρακμ. β΄ **λέλογχα**.
5. **λαμβάνω**, μέλλ. **λάμψομαι**, παρακμ. **λελάβηκα, λέλαμμαι** ( **διαλελαμμένος** ), **ἐλάμφθην**.
6. **οἶδα, οἶδας, οἶδε, ἴδμεν** ( καὶ **οἴδαμεν** ), **ἴστε, οἴδασι** ( καὶ **ἴσασι** ). Ὑποτ. **εἰδέω**, εὐκτ. **εἰδείην**, παρτκ. **ᾔδεα, ᾔδεε - ᾐδέατε, ᾔδεσαν**. Μέλλ. **εἰδήσω**.
7. **οἶκα** ( ἀττ. ἔοικα), **οἶκε, οἴκασι, οἰκώς, οἰκός**.
8. **ὁράω, ὄπωπα, ὀπώπειν**. Παρτκ. **ὥρων**.
9. **φέρω, ἤνεικα, ἐνεῖκαι, ἠνεικάμην, ἐνήνειγμαι, ἠνείχθην** ( **ἐνειχθείς** ).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## II. ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

### ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

**Κεφ. 1. ἱστορίη** ἔρευνα. — **ἀπόδεξις** = ἀττικῶς **ἀπόδειξις** ἔκθεσις· **Ἡροδότου ἱστορίης ἀπόδεξις ἥδε** (δηλ. **ἐστὶ**) ὁ Ἡρόδοτος ἐκθέτει ἐδῶ τὰς ἐρεύνας του. — **ὡς,** τελκ. — **τὰ γενόμενα ἐξ** = **τὰ ποιηθέντα ὑπό.** — **ἐξίτηλος γίνομαι** λησμονοῦμαι. — **θωμαστὰ** = ἀττ. **θαυμαστά.** — **Ἕλλησι - βαρβάροισι,** δοτ. ποιητικοῦ αἰτίου εἰς τὸ **ἀποδεχθέντα** ( = ἀττ. **ἀποδειχθέντα** ) πραχθέντα. — **ἀκλεῆς γίνομαι** παραμένω ἄδοξος, δὲν ἐξυμνοῦμαι. — **τά τε ἄλλα καὶ** ἐκτὸς δὲ τούτων ( ἐκθέτει ) καί.

**νυν** = ἀττ. **τοίνυν.** — **διαφορὰ** διένεξις, ἔχθρα. — **ἐπὶ τήνδε τὴν θ.,** δηλ. τὴν Μεσόγειον θάλασσαν. — **τὸν** = ἀττ. **ὅν.** — **ναυτιλίῃ** τὸ ταξιδεύειν μὲ πλοῖα, θαλασσοπλοΐα. — **ἐπιθέσθαι,** ἐκ τοῦ **φασί· ἐπιτίθεμαί τινι** ἐπιδίδομαι εἴς τι, ἐπιχειρῶ τι. — **ἀπαγινέω** ἐξάγω, μετακομίζω. — **φορτία** ἐμπορεύματα. — **τῇ ἄλλῃ** ἀλλαχοῦ, εἰς ἄλλα μέρη. — **καὶ δὴ καὶ** καὶ προσέτι. — **ἅπασι** εἰς ὅλα, καθ' ὅλα. — **πολίων** = ἀττ. **πόλεων.**



**διατίθεσθαι,** τὸ ἀπρμφ. τοῦτο — καθὼς καὶ τὰ ἑπόμενα — ἐκ τοῦ **φασί· διατίθεμαι** ἐκθέτω πρὸς πώλησιν, πωλῶ. — **ὁ φόρτος** = **τὰ φορτία.** — **ἐξεμπόλημαι** ( = ἀττ. **ἐξημπόλημαι**), πθτκ. πρκμ. τοῦ **ἐξεμπολῶ** πωλῶ ἐντελῶς, ξεπουλῶ. — **σφι** ( = ἀττ. **σφίσι**), δτκ. τοῦ ποιητικοῦ αἰτίου. — **οἱ** = **αὐτῇ.** — **Ἰοῦν** = ἀττ. **Ἰώ.** — **τῶν** = ἀττ. **ὧν.** — **θυμός μοί ἐστί τινος** ἐπιθυμῶ τι, μοῦ ἀρέσει τι. — **διακελεύονται** ἐνθαρρύνει ὁ εἷς τὸν ἄλλον. — **πλεῦνες** = ἀττ. **πλέονες.** — **ἐσβαλομένους** ἀφοῦ ἔβαλαν ( οἱ Φοίνικες αὐτὰς ) μέσα. — **νέα** = ἀττ. **ναῦν.** — **ἐπ' Αἰγύπτου** πρὸς ( κατὰ ) τὴν Αἴγυπτον.

**Κεφ. 2. ἄρχω τινὸς** κάμνω ἀρχήν τινος. — **οὐκ ἔχω** ( μετ'

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀπρμφ. ) δὲν ἠξεύρω νά. — **φασί,** οἱ Πέρσαι. — **προσέχω** προσεγγίζω εἴς τινα τόπον, ἀράζω. — **καταπλώσαντας** = ἀττ. **καταπλεύσαντας.** — **μακραὶ νῆες** ἐκαλοῦντο τὰ πολεμικὰ πλοῖα, ἐν ἀντιθέσει πρὸς τὰς **στρογγύλας ναῦς** ( τὰ ἐμπορικὰ πλοῖα ). — **Αἶα,** τὸ ἀρχαῖον ὄνομα τῆς Κολχίδος, χώρας τῆς Μ. Ἀσίας κατὰ τὰ ἀνατολικὰ παράλια τοῦ Εὐξείνου Πόντου. — **Φᾶσις ποταμὸς** ὁ σημερινὸς **Ριὸν** ἐν Καυκάσῳ. — **ἐνθεῦτεν** = ἀττ. **ἐντεῦθεν.** — **εἵνεκεν** = ἀττ. **ἕνεκεν** ἢ **ἕνεκα.** — **ἐπίκατο** = ἀττ. **ἀφιγμένοι ἦσαν.** — **τἆλλα,** δηλ. τὴν ἁρπαγὴν τοῦ χρυσομάλλου δέρατος. — **δίκη** ( ἢ **δίκαι** ) ἱκανοποίησις. — **ὑποκρίνομαι** = ἀττ. **ἀποκρίνομαι.** — **ὦν** = ἀττ. **οὖν.**

**Κεφ. 3. δευτέρῃ γενεῇ,** τρεῖς γενεαὶ ἀποτελοῦν ἑκατὸν ἔτη. — **Ἀλέξανδρος,** τιμητικὸν ὄνομα τοῦ Πάριδος. — **ἐπίσταμαι,** παρ' Ἡροδότῳ πολλάκις : νομίζω, φρονῶ. — **τοὺς δέ,** δηλ. **τοὺς Τρῶας.** — **προϊσχομένων,** δηλ. **αὐτῶν, τῶν ἀγγέλων· προΐσχομαι** ἰσχυρίζομαι. — **προφέρω τι ὡς** ἀναφέρω τι καὶ λέγω ὅτι. — **ἐκδόντες,** δηλ. **τὴν Μήδειαν· ἐκδίδωμι** παραδίδω. — **ἀπαιτεόντων,** δηλ. **τῶν Κόλχων.** — **βουλοίατο** = ἀττ. **βούλοιντο.**

**Κεφ. 4. εἶναι,** ἐκ τοῦ **λέγουσι ( Πέρσαι ).** — **αἰτίους,** δηλ. **τῆς διαφορῆς.** — **σφέας,** δηλ. **τοὺς ἐκ τῆς Ἀσίης.**

**Κεφ. 5. ἐοῦσαν** = ἀττ. **οὖσαν.** — **ἐρέων** = ἀττ. **ἐρῶν.** — **κως** = ἀττ. **πως.** — **ὑπάρχω** ( μετὰ γνκ. ) κάμνω ἀρχήν τινος, ἀρχίζω τι. — **προβαίνω ἐς τὸ πρόσω τοῦ λόγου** προχωρῶ εἰς τὴν ἐξακολούθησιν τῆς διηγήσεώς μου. — **ἐπεξέρχομαί τι** ἐξετάζω τι ἐν λεπτομερείᾳ, διηγοῦμαι περί τινος. — **ἐπ' ἐμεῦ** ἐπὶ τῶν ἡμερῶν μου. — **οὐδαμὰ** οὐδόλως, οὐδέποτε. — **μένω ἐν τωὐτῷ** ( = **ἐν τῷ αὐτῷ** ) διαμένω εἰς τὴν ἰδίαν κατάστασιν. — **ἐπιμιμνῄσκομαι** ( μετὰ γνκ. ) κάμνω μνείαν τινός.

**Κεφ. 6. Ἀλυάττεω,** ὁ Ἀλυάττης ἐβασίλευσε τῶν Λυδῶν ἀπὸ τοῦ 617 - 560 π. Χ. — **ἐντὸς Ἅλυος** ἐντεῦθεν τοῦ Ἅλυος ( ὅταν παρατηρῇ τις ἐκ τῆς Ἰωνίας )· ἑπομένως : πρὸς Δ. τοῦ Ἅλυος. — **ἐξιεῖ** = ἀττ. **ἐξίησι** ἐκβάλλει. — **τῶν,** καθ' ἕλξιν ἀντί : **τοὺς** = ἀττ. **οὕς.** — **ἴδμεν** = ἀττ. **ἴσμεν** ( τοῦ **οἶδα** ). — **καταστρέφομαι** ὑποτάσσω. —

